6. ἀπαλλ. τῆς νόσου.

8. παραυτίκα.

9. μύρον, καὶ χρίεις τοῦτο, μεγ. τύχην ἕξεις ἀπὸ πάντων (κ. πασῶν om.). — Addition ou plutôt interpolation : Τὴν δὲ καρδίαν τῆς χελιδόνος (*sic*) περιαπτομένην <λαβὼν> ἐλαφείῳ δέρματι, ἀπαλλάξ (εις) σεληνιαζομένοις <πάθος>.

§ 12] Περὶ δὲ τοῦ κ. σκ. οὐκ ἀποκρ. τὰ ἱστορούμενα διὰ τὸ παρὰ πολλοῖς ἀγνοεῖσθαι. Ἐὰν γὰρ βάλῃς ∾ κοτ. αʹ, τῆς σελήνης (en signe) ἀποκρουστικῆς οὔσης, καὶ ἐχ. ἀπ., ἀπὸ τούτου δὲ χρίῃς ῥᾶχιν (*sic*) τινός ἄνωθεν ἐκ τοῦ αὐχένος ἕως κάτω, ἔτι τε τὸ μέτ. ∾ τεταρταῖον καὶ αὐθημερινὸν ἰάσῃ πάνυ θαυμαστῶς · κουφίζει δὲ καὶ τοῖς σεληνιαζομένοις τὸ πάθος.

§ 13] Ἐὰν δὲ πάλιν πτερὸν τοῦ πτ. βάλῃς εἰς ἕτερον ἔλαιον καὶ ἀπὸ τούτου χρίσῃς τὸν ἀπαλλαγέντα τοῦ σεληνιασμοῦ, ἐπαν. ∾ οὐ σωθήσεται.

§ 14] Ὀπτὸς δὲ ὁ τοιοῦτος ἐσθ. (f. 561) ὑπο λιθ. ∾ τὸν λίθον ἀνωδύνως.

23. καρδίαν ἐν ἐλαφίνῳ (*sic*) δέρμ. συνδήσας περίαπτε σεληνιαζομένοις, καὶ τῆς μ. ἀπ.

§ 16] Τὸν δὲ λίθον ὃν ἔφημεν ὠκυτόκιον εἰ λειώσαις μετὰ χ. ∾ πτηνοῦ, καὶ μιᾶς κεφαλῆς τῆς ὠμίδος (*sic*) καὶ μίξας ὀλίγῳ ὕδατι, ἔχοις ἀποκ. ∾ θέλεις ἐπιδείξασθαι, χρίσαις τὴν χεῖρά σου ἀπὸ τούτου, καὶ ἅψαιο λίθου σκληροτάτου ἢ ξ. ἢ ὄ. θραυθήσεται (*sic*) παραυτίκα ὥστε ∾ μάγον εἶναί σε.

P. 48. §§ 17 et 18] Καὶ ταύτην δὲ τὴν ἐπιδεικτικὴν πρ. εἶδον ἐγὼ γενομένην ἐν μητρ. τ. Β. χ. Τῆς γὰρ κεφαλῆς τῆς ὠμίδος ἐπιτεθείσης ἐπ' ἀ. νυκτὸς οὔσης καὶ αἰθρίας ἐν ἀέρι ὤφθησαν ἐπὶ τοῦ ὀρώφου (*sic*) δώματος πλήθη ἀστέρων, ὡς δοκεῖν οὐρανὸν εἶναι σὺν τοῖς ἄστροις.

§ 19] Ἐὰν δὲ τῆς σελήνης (en signe) πλήρης (*sic*) οὔσης τὴν κεφ. τῆς ὠμίδος βάλῃ τις ἐ. ἰ. καὶ ἐπιθῇ ἐν πυρὶ νυκτὸς οὔσης καὶ αἰθρίας ἐν ἀέρι, φανήσεται ὁ δίσκος τῆς σελ. ὑπερμεγέτης ὡς ∾ οὐρανοῦ διήκων.

9. μετ' αὐτῶν...] αὐτῷ τι τοῦ τῆς θαλάττης ἀστέρος.

10. τὸ στ. γενόμενον.

11. πυρ. ἐπιθήσης (l. ἐπιθήσεις) λελ. βρ.

12. συνεπιθῆς τῷ πυρί.

13. Ὤμιδα ∾ δύναμιν] Τοῦτο τὸ ζῶον ὠμίδα ἐκάλεσαν διὰ τὸ ἐν τ. ὠ. μεγ. δύν. ἔχειν. (L. meilleure.)

14. Ἔχεις...] Γίνεται γὰρ ἐκ τούτων σκευασία κατ. αὕτη : τῶν ἐ. τ. ὠ. ὀστ. τῶν μαιν. οὐγγ. α΄, μανδραγόρας μ. οὐγγ. δ΄, ὀπίου οὐγγ. α΄, κολοφωνίας, θείου ἀνὰ οὐγγ. α΄, νίτρου οὐγγ. α΄. Ταῦτα σκεύαζε ὡς ἐπ. καὶ κατ. ἐπὶ νοσήματι τοῖς κάτωθεν ῥηθησομένοις καὶ ταχέως ἀπ. τ. ν.

19. (Fol. 561 v.) ποιήσῃ. — καὶ] εἶτα.

20. βοηθῆσαι τῷ πάσχοντι. — ἔστι δὲ τοῦτο ἴ. τῶν ὑποτεταγμένων νοσημάτων. (L. meilleure.)

§ 25] Μαινίδα δὲ ἐκάλεσαν διὰ τὸ σκευασίαν ἐκ ταύτης ἐπὶ μανίας γίνεσθαι· καὶ ἔστιν ἡ σκευασία αὕτη. Λαβὼν τῆς μ. ∾ οἶνον ∾ σούσινον ἔλαιον ∾ μανδραγόρας <ιδ΄, ὑοσκυάμου κόκκους δ΄, ∾ σπ. <δ΄ · ταῦτα ἕψει ἕως ἂν γένηται τὸ ἥμισυ, καὶ ἀποθ. χρῶ οὕτως.

§ 26] Ἐὰν ἴδῃς τινὰ κατεχόμενον μανίᾳ, δίδου αὐτῷ ἐκ τούτου (lire ἐκ τοῦ οἴνου ?) ὅσον < α΄ ∾ καὶ ἀπαλλαγήσεται τοῦ πάθους.

29. πεπτωκότι μέν, μὴ μαινομένῳ δέ.

P. 49, l. 1. κολλυρίου. — ἑνώσας δφῆς ἐγχρ. τοῖς ὀφθαλμοῖς...

§ 29] Ὠταλγοῦντα δὲ ἐὰν ἐξ α. χρίσῃς τὰ ὦτα, τὴν μὲν ἀλγηδόνα παύσει, κωφὸς δὲ διαμενεῖ.

4. καὶ om. — ἀλέβητος μέλανος.

5. ἐγχρ. τοῖς ὀφθαλμοῖς. — φαίν. ὡς ἐν ἡμέρᾳ. (κ. βλ. om.)

6. μαγνήτιδος ζώσης.

7. ἐγχρ.] καὶ ἐγχρίσῃς τοῖς ὀφθαλμοῖς. — καὶ ἀέρι θεωρήσεις.

8. τὸν om. (L. meilleure.) — τῆς μαινίδος, (L. meilleure.) — καὶ ὑπὸ τοὺς πόδας κατάκλ.

11. παντοῖον ἰοβόλον ζῶον ἑρπετόν τε καὶ τετράπουν, ἔτι δὲ καὶ κύνας λισσῶντας καὶ πάντας ἐχθροὺς καὶ ἐπιβούλους. (ταπ. om.)

13. ἀπὸ] ὑπὸ. (L. meilleure.) — καὶ σφρ. ταύτῃ σφρ. τὴν πληγήν, ἀπαλλάξεις τὸν πληγέντα τοῦ κινδύνου.

§ 33] Ἐὰν δέ τις ὑπὸ κυνὸς λυσσῶντος δηχθῇ καὶ γεν. ὑδρ. τὸ π. μὴ λ., βαλὼν τὸ δακτύλιον εἰς ὕδωρ καὶ δοὺς πιεῖν, ὁ πιὼν οὐ μανήσεται.

§ 35] omis.

19. (F. 562 r.) νεαρᾶς οὔσης] προσφάτως ληφθείσης. — λειωθεῖσαν (comme R) ἐν ὕδατι, ἐμβάψας καὶ τὸν δακτ. ἐν αὐτῷ, εἰ μὲν μαινόμενος εἴη ὁ πιών, ἰαθήσεται · εἰ δὲ νήφων, μανήσεται. Πάλιν δὲ μ. ὀ. δοὺς φ. θεραπεύσεις. Derniers mots du

l. Ier, suivis de 7 lignes en blanc; puis texte intitulé : Ἕτερον περὶ βοτανῶν κατὰ στοιχεῖον ἐκ τοῦ Ἀετίου. (Fol. 562 r.-565 r.)

P. 81, l. 1. (F. 565 v.) Titre du l. III des *Cyranides :* Περὶ πτηνῶν, ὁποίαν ἕκαστον ἐνέργειαν κέκτηται. Et en titre courant : Τοῦ αὐτοῦ (*scil.* Ἀετίου) περὶ πτηνῶν φύλλ ι΄. — Les mots ἀρχὴ τοῦ et le nom de la lettre sont toujours omis dans les livres suivants.

§ 1] ΑΕΤΟΣ μέγιστόν ἐστιν ὄρνεον, βασιλεὺς ἅπαντων τῶν πτηνῶν ἔχων ἐνέργειαν τοιάνδε.

P. 83, l. 5. § inédit, conservé en partie par le vieil interprète latin : Τούτου ἡ χολὴ σὺν χυλῷ πρασίου καὶ ὀποβαλσάμου καὶ μέλιτι λειωθεῖσα καὶ ἐπιχρισθεῖσα πᾶσαν ἀμαύρωσιν καὶ ἀχλὺν καὶ ὑπόχυσιν ὀφθαλμῶν ἰᾶται.

§§ inédits : Τὰ δὲ πτερὰ αὐτοῦ θυμιώμενα ληθαργικοὺς καὶ ὑστερικὸν πνιγάδα καὶ φρενιτικὴν ἰᾶται.

Οἱ δὲ ὄνυχες αὐτοῦ καέντες καὶ λειωθέντες καὶ σὺν οἴνῳ παλαιῷ ἐπιχριόμενοι σταφυλῆς πόνον θεραπεύουσι. Πινόμενοι δὲ τοὺς δεδεμένους ἐν φαρμακείαις λύουσιν.

Ἐὰν δὲ γυνὴ μυελὸν τοῦ ζώου πίῃ καὶ ὀλίγον τούτου ἐπιθῇ τῷ τῆς μήτρας στομίῳ, ἀσύλληπτος γίνεται.

Τὰ δὲ ὀστᾶ αὐτοῦ καέντα ἔχε ὡς ξηρίον · ἰᾶται γὰρ ὠτίων ἕλκη ἐπιπασσόμενον, καὶ εἰς ὀδονταλγίας ὠφέλιμον γίνεται σὺν οἴνῳ κλυζόμενον.

Ἡ τοῦ ἀετοῦ δὲ καρδία ἑψηθεῖσα καὶ δοθεῖσα ἐν βρώματι λάθρα ἢ ξηρὰ ἐν πότῳ γυναιξὶ μεγάλην φιλίαν καὶ πόθον ἐρωτικον πρὸς τοὺς ἑαυτῶν ἄνδρας ἐμποιεῖ.

Οἱ δὲ πόδες αὐτοῦ βασταζόμενοι πρὸς τὴν κατ᾽ ἐχθρῶν νίκην μεγάλως συνεργοῦσιν.

P. 85, l. 13. Article inédit conservé par le v. i. : ΑΛΚΥΩΝ ἐστι στρουθίον πάνυ ὡραῖον, ὑπολαζουρίζον, χροιὰν ἔχον ποικίλην παρ᾽ αἰγιαλοῖς καὶ λίμναις διατρίβον. Καὶ ἐντὸς τοῦ ὕδατος τίκτει. Ὅτε οὖν τέξει τὰ ἑαυτῆς ᾠά, γίνεται ὑπὸ τῆς προνοίας μεγάλη γαλήνη εἰς τὴν θάλασσαν, ὥστε μὴ ἐγείρεσθαι κύματα · παρὰ γὰρ τὸ χεῖλος τῆς θαλάσσης γεννᾷ, ὅπου μάλιστα κλύζουσι (l. βλύζουσι) τὰ κύματα. Ἐσθίει δὲ τὰ μικρὰ ἰχθύδια. Ὅτε οὖν νεοττοποιήσῃ καὶ πετάσουσι (*sic*); l. πετήσονται τὰ νόσσια, πάλιν ἡ θάλασσα κατὰ τὸ εἰωθὸς κλύζεται (l. βλύζεται).

Τοῦτο τὸ πτηνὸν ἐάν τις ἀγρεύσῃ καὶ διὰ ῥάκους πρὸς τῇ κεφαλῇ δίσῃ (l. δήσῃ) ὁ πολλὰ (f. 566 r.) κοιμώμενος ἐκδιώξει τὸν ὕπνον ἀφ᾽ ἑαυτοῦ.

Κυβερνήτης δὲ πλοίου, ἐὰν βαστάζῃ τὰ ᾠὰ αὐτοῦ ἀσφαλῶς καὶ ἀκυμάστως (l. ἀκυμάντως ?) κυβερνήσει τὸ πλοῖον.

P. 84, l. 15. §§ 3, 4 et 5 de l'article relatif à l'aigle, appliqués à l'alcyon comme dans le v. i. (P. 85, l. 25-33.) Ἐὰν δὲ ἁλιεὺς κ. τ. λ. Variantes : P. 84, l. 15 : ἢ κυνηγὸς om. — ἢ τὰ ἄκρα τῶν πτ.] ἢ τὰ πτερὰ αὐτοῦ. — ἢ τοῦ κυνηγίου om. L. 17. ὀπτὸν] ἑφθόν. — σὺν τοῖς πτ. ∾ στρέφει] ἀποπληξίαν καὶ μανίαν ἰᾶται.

P. 84, l. 18. Article inédit. § conservé par le v. i. : ΑΛΕΚΤΩΡ πτηνόν ἐστι κατοικίδιον πᾶσι γνωστόν.

§§ inédits : Τούτου ἡ κοιλία καυθεῖσα, τριφθεῖσά τε καὶ ποθεῖσα δυσεντερικοὺς ἰᾶται.

P. 85, l. 1-2. § conservé par le v. i : Ἐὰν δὲ τοὺς ὄρχεις καὶ τὸ ὀρθοπύγιον συνεχῶς τις ἐσθίει (*sic*), ἔντασιν καὶ πρὸς συνουσίαν τὴν ὁρμὴν ἐγείρει.

Article inédit : ΒΟΡΟΣ ὄρνεόν ἐστι μέλαν πᾶσι γνωστόν · τοῦτο γάρ ἐστιν ὃ κορώνην ὀνομάζουσι πάντες. Τούτου ἡ κόπρος σὺν οἴνῳ ποθεῖσα δύσπνοιαν καὶ βῆχα ἰᾶται. Τὸ δὲ αἷμα ξηρὸν ὅσον κοτύλην α΄ σὺν οἴνῳ ποθὲν ὑδρωπικοὺς ἰᾶται. Ἡ δὲ καρδία ὀπτηθεῖσα, ἐὰν γυναικὶ λάθρα δοθῇ ἐν βρώσει ἢ ἐν ποτῷ, φίλτρον ἐργάσεται αὐτῇ πρὸς τὸν ἄνδρα. Καὶ γυνὴ δὲ καὶ ἀνὴρ ἑτεροφρονοῦντες ἀλλήλοις ἢ ὁ ἕτερος πρὸς τὸν ἕτερον, ἐὰν λάβωσιν αὐτὴν ἐν βρώσει ἢ πόσει, ὡς εἴρηται, εἰς ὁμόνοιαν τρέψουσι τὸ μίσος. Ὁ δὲ ἐγκέφαλος τοῦ ὀρνέου σὺν μέλιτι καὶ σατωρίῳ (*sic*) περιχριόμενον τὸ αἰδοῖον μεγίστην ἡδονὴν παρέξει τῷ συνουσιάζοντι πρὸς τὴν γυναῖκα, καὶ πάνυ ἀγαπήσει αὐτὸν καὶ οὐδενὶ ἑτέρῳ κολληθήσεται πλὴν αὐτοῦ. (Cp. p. 90, l. 15-26.)

P. 89. § 1] ΖΗΝ πτηνόν ἐστι μικρὸν ὅμοιον καλλιγάρῳ ἔχον ἐν τ. κεφ. πτερύφια ἐρ. κ. χρ., ὅπερ καλοῦσί τινες ἀστρόγλινον.

§ 2] Τοῦτο βρ., ὀ. ἢ λεῖον ποθὲν κωλ. καὶ κοιλ. θεραπεύει.

Article inédit : ΘΗΡΑΤΗΣ πτηνόν ἐστιν ὃς καὶ πάνθηρ καλεῖται. Τούτου τὸ στέαρ σὺν χαλκάνθῳ ἐνιέμενον γαγγραίνας ἰᾶται · σὺν δὲ κηρῷ καὶ λιθαργύρῳ μιγνύμενον τραύματα παλαιὰ καὶ σύριγγας θεραπεύει.

Ἡ δὲ κόπρος σὺν ὄξει καὶ ῥοδίνῳ καταχριομένη ἡμικρανίας ἰᾶται.

23. § 1] ΙΕΡΑΞ πτηνόν ἐστι θηρατικόν. Τοῦτο τὸ ζῷον δύναται ὅσα ὁ γύψ. Τούτου τὸ ἀφ. μετὰ γλ. οἴνου πιν. ἐπιπλεῖστον ὠκυτ. γίνεται.

§ inédit : Ἡ δὲ χολὴ αὐτοῦ γλυκεῖ καὶ κροκολύτῳ (f. 566 v.) μιγνυμένη καὶ ἐπιχριομένη πᾶσαν ἀμβλυωπίαν ἰᾶται.

§ 2] omis. — A partir d'ici, les omissions du ms. ne sont plus indiquées.

P. 90, l. 4. § 3] Ἐσθ. δὲ τὸ ὄρνεον ὀπτὸν ἰ. ν. θεραπεύει.

Suivent deux articles inédits :

ΙΚΤΙΝΟΣ πτηνόν ἐστιν ἱερόν. Τούτου ἡ κεφαλὴ ξηρανθεῖσα ἄνευ τῶν πτερῶν καὶ λειωθεῖσα καὶ πινομένη σὺν ὕδατι ὅσον ςγ (*scil.* ἑξάγιον) α΄ ποδαγρικοὺς ὠφελεῖ καὶ χειραγρικούς.

ΚΟΡΥΔΑΛΟΣ (l. κορύδαλλος, alouette huppée) στρουθίον ἐστὶ πᾶσι γνωστὸν λόφον ἔχων ἐν τῇ κεφαλῇ. Οὗτος ἑψηθεὶς καὶ ἐσθιόμενος συνεχῶς σὺν τῷ ζωμῷ κοιλιακοὺς ὠφελεῖ καὶ δυσεντερικούς.

P. 92, l. 3. §§ 1-4] ΜΕΡΟΨ στρουθίον ἐστὶν ὅλον πράσινον · ἔστι δὲ καὶ φρονιμώτατον, ποιοῦν ὅσα καὶ ἡ ἀλκυών. Τοῦτο ὅταν τέξῃ καὶ θέλῃ μὴ ἀγρευθῆναι τὰ νοσσία

αὐτοῦ, πολλοὺς ἀμείϐει τόπους, ἵνα μηδεὶς γνῷ τὸ ποῦ αὐτὰ τρέφει. Μέροψ δὲ ἐκλήθη διὰ τὸ ἡμεροῦσθαι τῷ ἀνθρώπῳ τάχιστα. Τούτου ἡ χολὴ σὺν μέλιτι καὶ χυλῷ πηγάνου περιχριομένη τοῖς ὀφθαλμοῖς ὑπ. ἶαται.

§ inédit : Ἡ δὲ κόπρος σὺν οἴνῳ καταχριομένη καρδιακοὺς ὠφελεῖ. Ἡ δὲ καρδία αὐτοῦ λεῖα (l. λεία) ποθεῖσα ἰκτερικοῖς βοηθεῖ καὶ φιλίας περιποιεῖ.

P. 90, l. 9. § 1] ΜΑΜΥΓΕΡΟΣ πτηνόν ἐστι πᾶσι γνωστόν, ὁ λεγόμενος κόραξ. Οὗτος ∾ ἐ. ἡμ. μ', ἔπειτα καυθεὶς καὶ γεγονὸς κόνις καὶ σκευασθεὶς εἰς κηρωτὴν σὺν ἐλαίῳ παλαιῷ καὶ ῥοδίνῳ καὶ κηρῷ ποδ. θερ.

§ 2] Ἡ δὲ κ. α. διαχριομένη ἀλφοὺς ἶαται.

§ 3] Τὰ δὲ ὠὰ αὐτοῦ σὺν στυπτηρίᾳ ἐπιχριόμενα καὶ διατριϐόμενα ταῖς θριξὶ ταῖς λευκαῖς μελαίνουσιν αὐτάς.

P. 92, l. 19. §§ 1 et 2] ΝΗΣΣΑ ποτ. ἐστι κ. λ. ὅ. πᾶσι γνωστόν · γίνεται γὰρ (lire δὲ ?) κατοικίδιον. Ταύτης τὸ α. θ. ἔτι ἢ ξηρανθὲν καὶ ποθὲν δηλητηρίων βλάϐας ἀποκρούεται καὶ τοὺς ∾ δηχθ. ἶαται.

§§ inédits : Ὁμοίως δὲ καὶ ἐπαλειφόμενον θηριοδήκτους ὠφελεῖ.

Τὸ δὲ στέαρ αὐτοῦ ἡγείσθω σοι χρήσιμον εἰς πολλὰς χρείας ἀλειμμάτων.

P. 93. § inédit : ΟΡΝΙΣ ΚΑΤΟΙΚΙΔΙΟΣ ἡ καὶ ἀλεκτορὶς λεγομένη πᾶσίν ἐστι γνωστή.

§ 7] Ταύτης ἡ κόπρος σὺν ὀξυμέλιτι πινομένης αὕτη καὶ τοῖς κωλικοῖς ἁρμόζει (f. 567 r.), καταχριομένη δὲ μυρμηκίας καὶ μελάνθρακας ἶαται.

§ inédit : Τὸ δὲ στέαρ μετὰ σταφίδος ἀγρίας καταχριόμενον κεφαλῆς ἰχῶρας καὶ πίτυρα θεραπεύει ἄκρως.

§§ 8 et 9] <Ο>ΡΤΥΞ πτηνόν ἐστι πᾶσι γνωστόν. Τούτου ἑψομένου ὁ ζωμὸς πινόμενος κοιλίαν μαλάσσει · ∾ θεραπεύει.

P. 68, l. 20. § 1] ΟΦΕΑ πτηνόν ἐστιν ἡ λεγομένη νυκτερίς · τουτὸ πτερωτὸν μέν ἐστι, πλὴν καὶ τετράπουν, καὶ ἵπταται ὥσπερ χελίδων, τίκτει δὲ ὡς τετράπουν, καὶ θηλάζει.

§ 2] Ταύτης τὸ αἷμα ἐὰν ἐπιχρίσῃς εἰς τόπον ἔνθα πεφύκασι τρίχες φύεσθαι, οὐδαμῶς φυήσονται.

P. 69, l. 1. § 3] Ἡ καρδία φορουμένη ∾ ποιεῖ.

§ inédit : Ἐὰν δέ τις τὸ αἷμα αὐτῆς δέξηται κροκίδια καὶ ἐν πεσσῷ προστεθῇ σὺν σατωρίῳ (*sic*) βοτάνῃ τῷ στομίῳ τῆς μήτρας, συλληπτικὸν ἔσται.

P. 95, l. 20. §§ 14 et 15] ΠΕΡΙΣΤΕΡΑ πτηνόν ἐστι πᾶσι γνωστὸν ἧς τὸ αἷμα θερμότατόν ἐστι. Διὸ καὶ ἐνσταζόμενον τὰς ἐκ πληγῆς ῥήξεις τῶν ὀφθαλμῶν ἶαται.

P. 96, l. 1. § 16] Τὸ δὲ ἀφόδευμα σὺν κριθίνῳ ἀλ. καὶ νίτρῳ καὶ στέατι χοιρείῳ γαγγρ. παραχ., καὶ χοιρ. ῥ. ∾ σπίλους καὶ ῥήγματα ὄψεως αἴρει. Σὺν κεδρίᾳ δὲ λευκὰς ἀλφὰς (*sic*) καὶ λειχῆνας καὶ λέπρας θεραπεύει.

§§ 18 et 19] ΠΕΡΔΙΞ πτηνόν ἐστι δόλιον. Ταύτης ἡ χολὴ σὺν μέλιτι καὶ

ὀπῷ βαλσάμου καὶ χυλῷ μαράθρου περιχριομένη τοῖς ὀφθαλμοῖς ὀξυωπίαν παρέχει.

§ inédit : Ἑψομένη δὲ ἡ σὰρξ αὐτῆς σὺν κηδωνίῳ (*sic;* l. κυδωνίῳ) μετ' οἴνου στύφοντος τοῦ ζωμοῦ ἐπιρροφουμένου κοιλίαν ῥέουσαν ἵστησι.

§ 20] Τὰ δὲ ὠὰ αὐτοῦ ἐσθ. εἰς ἀφροδίσια παρορμῶσι. Μετὰ δὲ χρ. ∾ πολὺ φέρει. Τὰ δὲ τῶν ὠῶν λέπη σὺν κηρῷ ἑνωθέντα καὶ καταπλασθέντα γυναικῶν μασθοὺς νενευκότας ἀνορθεῖ (*sic*).

Article inédit : ΤΡΩΓΛΙΤΗΣ στρουθίον ἐστὶ πᾶσι γνωστόν. Τούτου τὸ ἀφόδευμα σὺν οἴνῳ πινόμενον ἔντασιν ποιεῖ· μετὰ δὲ χοιρείου στέατος λειωθὲν καὶ χρισθὲν ἀλωπεκίας δασύνει. Τὸ δὲ στέαρ αὐτοῦ ἐπὶ κατακαύμασι σὺν ἀδιάντῳ καταπλασσόμενα (*sic*) δὶς τῆς ἡμέρας (f. 567 v.) ὠφελεῖ.

P. 98, l. 2. § 8] ΤΡΥΓΩΝ πτηνόν ἐστι μονογαμίαν ἀσκοῦν.

§ 9] Ταύτης ἡ κόπρος σὺν γάλακτι γυναικείῳ ἢ μέλιτι χριομένη λευκώματα καθαίρει.

§ inédit : Τὸ δὲ αἷμα αὐτῆς ἐν τοῖς τῶν ὀφθαλμῶν ὑποσφάγμασιν ἰᾶται θερμὸν ἐνσταζόμενον. Τὸ δὲ ἀφόδευμα σὺν ῥοδίνῳ χριόμενον ὑστέρας ἄλγημα παύει.

Article inédit : ΦΑΣΣΑ πτηνόν ἐστι πᾶσι γνωστόν.

Ταύτης τὸ αἷμα θερμὸν ἐνσταζόμενον ὀφθαλμῶν αἱμάτωσιν ἰᾶται.

Ἡ δὲ κοιλία αὐτοῦ λεία πινομένη λίθους τοὺς ἐν νεφροῖς ἐκκρίνει.

P. 99, l. 13. § 1] ΧΕΛΙΔΩΝ στρουθίον ἐστὶ πᾶσι γνωστὸν ἔχων (*sic*) δυνάμεις τοιαύτας· ἐάν τις ∾ αὐτῆς ἐμβάλῃ εἰς χ. καὶ προπηλώσας ὀπτήσῃ, ἔπειτ' ἀν. τ. χ. κατ., τοὺς μὲν β' νεοσσοὺς εὑρήσει καταφιλοῦντας, τοὺς δὲ β' ἐκστρεφομένους ἀλλήλων.

§ 2] Οἱ οὖν φιλούμενον (l. φιλούμενοι) νεοσσοὶ καιόμενοι καὶ κόνις (κόχοι et νις au-dessus de κοι, de première main) γινόμενοι καὶ μετὰ βρώσεως ἢ πόσεως διδόμενοι λάθρα γυναικί, διεγείρουσιν εἰς τὸ πρὸς τὸν ἄνδρα φίλτρον.

§ 4] Σὺν μέλιτι δὲ ἡ κόνις διαχριομένη συναγχ. ἰᾶται· σὺν δὲ μελικράτῳ πινομένη βράγχους ἰᾶται.

§ 6] Οἱ δὲ ἐντὸς ∾ περιαπτόμενοι ἡπ. ἰ. καὶ ὠκυτοκίαν παρέχουσιν.

§ inédit : Ὁ δὲ ἐγκέφαλος αὐτῶν μετὰ μέλιτος πρὸς ὑπόχυσιν ποιεῖ ὡσαύτως.

P. 100, l. 1. §§ 8 et 9] Καὶ ἡ τέφρα σὺν μ. χρ. ὀξ. παρέχει, καὶ ἕλκη τὰ ἑ. φ. καὶ γαγγραίνας θεραπεύει. Ὁ δὲ χοῦς τοῦ φωλοῦ ἑαυτοῦ (l. αὐτοῦ) σὺν ὀπίῳ καὶ ὄξει κεφαλαλγίας παύει.

P. 101, l. 18. § 4] ΨΑΡΟΣ στρουθίον ἐστὶ πᾶσι γνωστόν.

§ inédit : Τοῦτο ὅταν ὄρυζαν φάγῃ, γίνεται ἡ κόπρος αὐτοῦ ῥυπτική, ὥστε καὶ (espace blanc pour 6 ou 7 lettres.) ἀποσμήχειν καὶ φάκους καὶ ψύδρακας ὄψεως.

Article inédit : ΩΤΙΣ πτηνόν ἐστι μέγιστον πᾶσι γνωστόν.

Τούτου τὸ στέαρ σὺν λιβάνῳ καὶ σμύρνῃ ψωριῶντας θεραπεύει.

Ἐὰν δέ τις συνεχῶς ἐσθίει νῆστις ὠτίδος νεφρούς, οὐδέποτε νεφροὺς ἀλγήσει.

P. 51, l. 2. (Livre II des Cyranides.) Titre : ΠΕΡΙ ΖΩΩΝ ΤΕΤΡΑΠΟΔΩΝ. — Le titre courant du livre précédent est continué pour celui-ci.

§ 1] ἌΡΚΤΟΣ ζῶόν ἐστι τετράπουν θηριῶδες πᾶσι γνωστόν, τοῦτο πολλάκις μιμούμενον τὸν ἄνθρωπον ἵσταται ὀρθόν, καὶ ἐπ' ὀλίγον τοῖς δυσὶ ποσὶ περιπατεῖ · (f. 568 r.) ἔστι δὲ καὶ συνετόν.

§ 2] Τούτου ὁ ἐγκέφαλος ἐν βρώσει δοθεὶς ἐπιλ. ἰ.

Τὸ δὲ ἧπαρ ξ., ἐπισπασθὲν (l. ἐπιπ.) ἡπ. ὠφελεῖ.

P. 52, l. 8. § 4] Ἡ δέ χολὴ σὺν μελ. πιν. τὸ αὐτὸ ποιεῖ · καταχριομένη δὲ ὀξυωπίαν παρέχει.

§ 3] Τὸ δὲ στέαρ αὐτοῦ σὺν κηκῖδι καὶ κεδρίᾳ καὶ πολυτρίχῳ καταχριόμενον ἀλοπ. δασ. καὶ ὀφρύων καὶ γενείων λειποτριχιάσει · μόνον δὲ τὸ στέαρ παρ. καὶ χοιράδας καὶ φύγεθλα ἰᾶται.

§ 5] ΑΛΩΠΗΞ τετράπουν ἐστὶ πᾶσι γνωστόν, δ. τε καὶ παν. καὶ σοφόν · ἔστι δὲ καὶ ὀρνεοβόρον.

§ 6] Ἐὰν οὖν τις ἀγρ. αὐτὴν ζ. καὶ ἐμβάλῃ ∾ ἑψήσῃ ἕως οὗ εἰς τέλος τακῇ, καὶ διηθ. τὸ ἔλ. ἐν ἀγγείῳ ἔχῃ, καὶ ἐξ αὐτοῦ ἀλείψῃ, ποδ., ἀρθρ., ἰσχ. καὶ παρειμένους, ∾ πολλὰ ἐν τῷ πάθει, θεραπεύσεις παρ. (En marge : σῃ̄.)

§ inédit : Τὸ δὲ στέαρ αὐτοῦ χλιαινόμενον καὶ ἐνσταζόμενον ταῖς ὠσὶν ὠταλγίαν ἰᾶται.

§ 8] Ὁ δὲ δεξιὸς αὐτοῦ ὄρχις ξηρανθεὶς καὶ λεῖος ἐν πόσει δοθεὶς φίλτρου γίνεται πρόξενον <γυναιξί>, ὁ δὲ εὐών. τοῖς ἀνδράσι.

P. 53, l. 4. § 13] Τὸ δὲ ἄκρον τοῦ αἰδοίου αὐτοῦ ἐν κύστει ἢ δέρματι ἐμβαλλόμενον, ἐν ᾧ ἐπιγέγραπται διὰ σμυρνομέλανος ΤΙΝ. ΒΙΒ. ΗΛΙΘΙ, καὶ περιαπτόμενον ἀνδράσιν, ἐντατικὸν γίνεται. Ὁμοίως καὶ λεῖον ἐν πόσει διδόμενον λάθρα (cp. le § 9.)

P. 52. §§ 10 et 12] Καὶ οἱ ὄ. δὲ πιν. ὅσον κοχλιάριον ∾ δρῶσι · τοῦτο γὰρ τὸ ποσὸν καὶ ἀβλ. ποιοῦσι τὴν ἔντασιν καὶ ἀδ. τηρ.

P. 53. §§ 26 et 27] Ἡ δὲ κόπρος ∾ θεραπεύει. Σὺν δὲ στέατι καταπλασσομένη ἀλ. δασ.

P. 54, l. 2. § 28] ΑΣΦΑΛΑΞ ζῶόν ἐστι ἀόμ$^{\tau\nu}$ (l. ἀνόμματον ?) ὑπὸ γῆν βαδ. καὶ φωλ. Εἰ δὲ συμβῇ (*sic*) τῆς γῆς ἐξελθεῖν, εἰ μέν ἐστι νύξ, πάλιν εἰ ἐντύχοι τῇ ὀπῇ δι' ἧς ἐξῆλθεν, εἰσέρχεται εἰς τὰς διατριβὰς αὐτοῦ (l. αὑτοῦ), ἢ ὀρύττων <εἰς> ἄλλην εἰσέρχεται. Εἰ δ' ἔστιν ἡμέρα, ἅμα τῷ προσβαλεῖν αὐτῷ τὴν τοῦ ἡλίου (en signe) θέρμην, θνήσκει.

§ 29] Τούτου ἡ καρδιά ∾ ἰᾶται. Ἐν δέρματι ∾ ὀφθαλμοῖς περιαπτομένη, προγινώσκειν ποιεῖ τὸν φοροῦντα πάντα τὰ ἐπερχόμενα ἐφ' ὅσον χρόνον φορεῖ αὐτά.

§ 32] (F. 568 v.) Σκευάζεται δ'ἐκ τούτου γευστόν, μεγάλην ἐνέργειαν ἐμποιοῦν τῷ γευομένῳ. Καὶ ἔστιν ἡ σκευασία αὕτη · λαβὼν ζῶντα τὸν ἀσφάλακα ἀπόπνιξον ∾ κοτ. γ', καὶ ἕψησον αὐτὸν ἕως οὗ τακῇ καὶ κηρωτῇ · καὶ διυλ. τὸ ὕδ. ἔμβαλε εἰς ἀγγεῖον χαλκοῦν καὶ σὺν αὐτῷ τάδε · ἀρτ. μ. οὐγγ. δ', λιβανωτοῦ ἄρρενος οὐγγ. η', σμ. τρογλ. οὐγγ. δ', σφ. οὐγγ. δ', βδ. οὐγγ. δ'. Ταῦτα κόψας καὶ σείσας καὶ ἑνώσας τῷ ἑψηθέντι ἀσφάλακι ἐπίβαλε μέλιτος πρώτου (l. πρωτείου) κοτ. α', καὶ ἕψει ἕως ἂν παχυνθῇ, καὶ ἀνελ. ἔνθου ἐν ὑ. ἀγγείῳ.

§ 34] Ἐκ τούτου ὁ γευόμενος ἀνατ. τοῦ ἡλίου (en signe) προγνώσεται τὰ γενησόμενα ἄχρι τῆς τοῦ ἡλίου (en signe) δύσεως.

§ 35] Τὸ δὲ στέαρ αὐτοῦ (τακὲν om.) ὠταλγίαν ἰᾶται.

P. 55, l. 5. § 38] ΑΙΞ θήλεια πᾶσι γνωστή.

§§ inédits : Ταύτης τὸ γάλα ἔτι θερμὸν πινόμενον φθισικοὺς καὶ ἰκτερικοὺς ὠφελεῖ.

Τὸ δὲ αἷμα σὺν μέλιτι πινόμενον ἀποστήματα πεπαίνει.

Τοῦ δὲ ἥπατος αὐτοῦ (*sic*) ὀπτωμένου, ὁ ἀποστάζων ἰχὼρ ἐνσταζόμενος εἰς αἰγίλωπας ὠφέλιμος γίνεται · καὶ ὁ ἀτμὸς δὲ αὐτοῦ ὁμοίως τοῖς ὀφθαλμοῖς ἐμπίπτων.

Τὸ δὲ κέρας αὐτοῦ κεκαυμένον ὀδόντας λαμπρύνει, καὶ οὖλα πλαδῶντα ἰᾶται.

Ἡ δὲ κόπρος καταπλασσομένη σκληρώδεις ὄγκους διαφορεῖ, καὶ ὑδρωπικοὺς καὶ στομαχικοὺς σὺν μέλιτι.

§ 40] Ἡ δὲ χολὴ ∾ ἐπιχριομένη ἀχλὺν καὶ πτερύγια τῶν ὀφθαλμῶν θεραπεύει.

§ 41] Ὁ δὲ σπλὴν ἔναιμος ἔτι ὢν καὶ πρόσφατος ἐν πυρὶ ὀπτηθεὶς καὶ βρωθεὶς δυσεντερικοὺς ἰᾶται.

§ 42] Καὶ ἡ κόπρος σὺν ἀλφίτῳ ἐπιπλασθεῖσα φαλαγγιοδήκτους καὶ ἐχεοδήκτους καὶ τοὺς ἀπὸ βουπρήστεως πληγέντας ἰᾶται · σὺν οἴνῳ δὲ π. ἑψ. ἡ κόπρος καὶ καταπλασσομένη οἰδήματα ∾ μασθῶν ἰᾶται · σὺν μελ. δὲ καταπλασσομένη ἄνθρακας ἰᾶται.

§ 44] Τοῦ δὲ ἐρίφου τὸ δέρμα ὅσον ἡμικοτύλ. σὺν ὄξει πινόμενον τοὺς ἐκ θώρακος αἷμα ἀνάγοντας ἰᾶται.

P. 56, l. 17. ΒΑΤΡΑΧΟΣ ∾ γνωστόν. (Début du § 6.)

§ 7] Τούτου ἡ τέφρα ∾ προστιθεμένη ἡ τέφρα εἰς πᾶσαν αἱμ. ῥινῶν τε καὶ ἑλκῶν καὶ (f. 569 r.) ῥήξεις φλεβῶν τε καὶ ἀρτηρίων ἵστησι, καὶ τὰ πυρίκαυστα ἰᾶται.

§§ inédits : Βατράχου δὲ αἷμα ἐπιχριόμενον τῇ κεφαλῇ ἀπορρέειν ποιεῖ τὰς τρίχας.

Ὁ δὲ χερσαῖος βάτραχος ὁ λεγόμενος σάκκος, ὃς καὶ ἰοβόλον ἆσθμα προίησιν, ἔχει ἐν τῷ μυελῷ τῆς κεφαλῆς λίθον ἐπικείμενον. Τοῦτον ἐὰν ἀγρεύσῃς σελήνης (en signe) ληγούσης, κατάκλυσον (l. -κλεισον) εἰς βύσσαν ἕως ἡμερῶν μ', καὶ μετὰ ταῦτα ἐκβαλὼν αὐτὸν τῆς βύσσης καὶ ἀνατεμών, λάβε τὸν εἰρημένον λίθον, καὶ

ἔχεις τοῦτον μέγα φυλακτήριον · ἰᾶται γὰρ σπληνικοὺς καὶ ὑδρωπικοὺς περὶ τὴν ζώνην περιαπτόμενος, ὡς ἐγὼ διὰ πείρας εἶδον.

3. § 1] ΒΟΥΣ θήλεια γνωστὴ πᾶσίν ἐστι. Ταύτης ∾ σείσας βάλε ἐκ ταύτης λίτραν α', κηροῦ οὐγγ. γ', θείου οὐγγ. γ', ἐλαίου καλοῦ λ. α', κράμβης χυλὸν οὐγγ. γ', ὠὰ ὠμὰ γ' · λείωσον τὰ ξ., καὶ τὰ τηκτὰ τήξας βάλε τὰ ὠὰ καὶ λείου καλῶς. Καὶ ἐκ τούτου κατ. ∾ σπλ. καὶ ὑδρ. καὶ ὑδροκήλους καὶ ποδαλγικούς, καὶ μεγάλως ὠφελήσει. (Ponctué comme le ms. R.)

§ 2] Ἐὰν δὲ λειώσας ταύτην σὺν ὄξει χρ. στέλεχος δένδρου ἢ ἀγγ. μελ., μυρμ. οὐχ ὑπ.

§ 3] Ὄνυχες δὲ βοῶν ἐκζεστοὶ ∾ ἐσθιόμενοι πᾶσαν φαρμ. ἀποτρέπονται.

§ 4] Ἡ δὲ βοεία χολὴ ἰόνθωνας ῥήγνυσιν, ὀροβίνῳ δὲ ἀλεύρῳ μιγεῖσα καὶ χρισθεῖσα στ. πρόσωπον.

§ 5] Καπνιζομένη δὲ ἡ κ. ὑπὸ τὸν δ. τῆς τεκούσης ὠκυτόκιον γίνεται καὶ τὰ δεύτερα ταχέως ἐκβάλλει.

§§ inédits : Τοῦ δὲ ἄρρενος βοὸς αἱ ἐνέργειαί εἰσιν αὗται · οἱ ἀστράγαλοι τούτου κεκαυμένοι καὶ ἐπιτριβόμενοι τοῖς ὀδοῦσι λευκοὺς αὐτοὺς διαφυλάττουσιν.

Ἡ δὲ χολὴ αὐτοῦ μεμυκυῖαν ὑστέραν διανοίγει πεσσοῦ γινομένου καὶ ἐμβαλλομένου πρὸς τὸ στόμα.

Τὸν δὲ λωβὸν τοῦ ἥπατος αὐτοῦ ἐμβαλὼν εἰς χύτραν καινὴν καὶ πωμάσας ἀσφαλῶς, ἵνα μηδαμῶς ἀναπνέῃ, καὶ ὑποκαύσας ἐν θερμοσποδίᾳ καμίνου ἡμέρας ἑπτά · εἶθ' οὕτως λειοτριβήσας δίδου ἐν πότῳ (*sic*) μετ' ὑδρομέλιτος ἢ μετ' οἴνου θερμοῦ, καὶ ἰᾶται ὑδερικούς. Ὑποκαπνιζόμενον δὲ καὶ καταχριόμενον μελισσῶν καὶ σφηκῶν δήγματα ἰᾶται.

P. 105, l. 18. § 1] ΓΗΣ ΕΝΤΕΡΑ πᾶσι γνωστά εἰσι. Ταῦτα ἁρμόζουσι τοῖς νευροτρώτοις ἐπιτιθέμενα · (f. 569 v.) παραχρῆμα γὰρ θαυμαστῶς ὀνίνησι (*sic*).

§ 2] Μετὰ δὲ ἀλφίτων συλληφθέντα λεῖα τὰ ἐν τοῖς μαστοῖς ἀποστήματα ἰᾶται.

§ 3] Σὺν δὲ ναρδίνῳ ἐλαίῳ χλιανθέντα ἢ βουτύρῳ καὶ ἐνσταζόμενα τοῖς ὠσὶν ὠταλγίας ἰῶνται. Καυθέντων δὲ ἡ τέφρα λειωθεῖσα σὺν οὔρῳ παρθένου καὶ ἐπιχρισθεῖσα ταῖς θριξὶν οὐκ ἐᾷ λευκανθῆναι αὐτάς.

§§ inédits : Ξηρὰ δὲ μετὰ ἀρτεμισίας λεῖα ἐπιτιθέμενα τῷ ὀμφαλῷ ἕλμινθας κατάγουσι.

Σὺν δὲ ἀφεψήματι ἠρυγγίου καὶ δικτάμου λεῖα πινόμενα δυσουρίαν ἰῶνται. (Cp. le § 3 de l'édition.)

P. 57, l. 10. § 1] ΓΑΛΗ ζῶόν ἐστι κατοικίδιον πᾶσι γνωστόν.

28. § 8] Τούτου τὸ αἷμα καὶ ὁ ἐγκέφαλος ξηρανθεὶς πινόμενος μετ' ὄξους ἐπιληπτικοῖς βοηθεῖ.

12. § 2] Νεκρὰν δὲ τὴν γαλῆν ἀνελόμενος ἕψει σὺν ἐλαίου ∾ καὶ διαλύσας

(l. διυλίσας) τὸ ἐλ. ἐμϐ. κηρόν, καὶ ποιήσας κηρ. ἔχε μέγα φάρμακον πρὸς ἀρθρ. καὶ π. ν. ἀρρωστίαν καὶ φλεγμονὴν τῶν ἄρθρων καὶ ῥευμ.

§ 3] Ἰᾶται δὲ χοιράδας ∾ ἀπόστημα.

§ 5] Τῶν δὲ ὄρχεων αὐτοῦ ὁ μὲν δεξιὸς συλληπτικός ἐστι · ξηρανθεὶς γὰρ καὶ λειωθεὶς σὺν μύρῳ καὶ σὺν ἐρίῳ γεγονότος πεσσοῦ, προστεθεὶς τῷ στόματι τῆς μήτρας, ἅμα τῷ συνουσιασθῆναι τὴν γυναῖκα εὐθὺς συλλήψεται.

§ 6] Ὁ δὲ εὐών. σὺν δορᾷ ἡμιόνου περ. ἀσύλλ. ποιεῖ τὴν φοροῦσαν γυναῖκα.

§ 7] Τοὺς δ. ὄ., ἀποκρουστικῆς τῆς σελήνης (en signe), ἤγουν ληξιφωτούσης, ἀπότεμε. Τὸ δὲ ζῶον ἄφες ἀπελθεῖν ζῶν.

P. 58, l. 3. § 1] ΔΟΡΚΑΣ ζῶόν ἐστι τετράπουν τὸ λεγόμενον ζορκάς, καὶ ἔχει δύναμιν ἀπεργαστικὴν συλλήψεως. Γίνεται οὖν ἐξ αὐτοῦ σκευασία τοιαύτη · σατωρίου (*sic*) ∾ δορκάδος ὅλον τὸ ὑγρόν, μέλι οὐγγ. δʹ · ταῦτα λειώσας καὶ θεὶς ἐν ἀγγ., καὶ ὅταν χρεία γένηται, ποίει ἐξ αὐτοῦ πεσσὸν ἐν κροκύδι καὶ τιθέτω τοῦτον εἰς τὸ στόμιον τῆς μήτρας ἡ γυνή, καὶ ἅμα τῷ συνουσιασθῆναι συλλήψεται.

§ 2] Καὶ εἰ ἔστι ξηροτέρα ἡ σκευασία αὕτη, ἔμϐαλε καὶ ἕτερον μέλι τὸ ἀρκοῦν.

12. § 1, en grande partie inédit] ΕΧΙΔΝΑ ἑρπετόν ἐστιν ἰοϐόλον καὶ σφόδρα κάκιστον, πᾶσι δὲ γνώριμον. Τοῦτο ζῶν ἀγρευόμενον παρὰ τῶν εἰδότων διαιρούμενον, μέρους τινὸς τοῦ πρὸς τῇ (f. 570 r.) κεφαλῇ καὶ μέρους τινὸς τοῦ πρὸς τῇ οὐρᾷ, ὡς μὴ ἀπομεῖναι τὸ τυχὸν ἀπὸ τοῦ ἰοῦ ἐν τῷ μέσῳ, τὸ λοιπὸν ἐκζέσαντες καὶ διελόντες τὰς σάρκας τῆς ἀκάνθης ἐμϐάλλουσιν αὐτὰς αὖθις εἰς χύτραν καινὴν σὺν ἅλατι, καὶ ὑποκαίουσιν ἐν καμίνῳ νυχθ. ὥστε φρυγῆναι καὶ οὕτω μίξ. ἀρώμασιν ἔχουσι φάρμακον πρὸς νόσους μεγάλας · ἰᾶται γὰρ ἐλεφαντίας καὶ λέπρας καὶ ἕτερα δυσίατα πάθη.

§ 2] Τὸ στέαρ δὲ ταύτης ὀξ. τε παρ. καὶ π. ἀ. ἰ.

§ 4] Διώκει ∾ πινόμενος · ἀλλὰ καὶ τὰ ἐξ αὐτῆς δ. ἰ. ∾ μυελῷ.

P. 59. § inédit : ΕΛΑΦΟΣ ζῶόν ἐστι πᾶσι γνωστόν · ἔχει δὲ δύναμιν τοιαύτην.

P. 60, l. 7. § 17] Ἐάν τις ἐκ τῶν κεράτων ῥίνισμα ὅσον κοχλ. αʹ δῷ τινι πιεῖν μεθ' ὑδρομέλιτος ἐπὶ ἡμ. ζʹ τῷ ἔχοντι κωλικήν, τελείως ἀπαλλάξει τοῦ πάθους.

§ inédit : Ὁμοίως καὶ σὺν ὀξυμέλιτι πινόμενον σπλῆνα τήκει καὶ ἕλμινθας κτείνει.

§ 18] Ἡ δὲ χολὴ σ. μ. συλλ. ποιεῖ.

§§ inédits : Σὺν δὲ σατωρίῳ λυομένη (l. λειουμένη ?) καὶ ἐν κροκύδι τιθεμένη, πεσσοῦ γινομένου, καὶ τιθεμένου < ἐν > τῷ στόματι τῆς μήτρας συλλήψεως γίνεται πρόξενος.

Κέρας δὲ ἐλάφου κεκαυμένον καὶ σὺν οἴνῳ λειούμενον καὶ περιπλασσόμενον ὀδόντας ἵστησι σειομένους. Μετὰ δὲ τὸ καυθῆναι καὶ πλυθῆναι πινόμενον ὡσεὶ κοχλιάρια βʹ, δυσεντερικούς τε καὶ κοιλιακοὺς καὶ αἱμοπτοϊκοὺς ὠφελεῖ. Σὺν δὲ γάλακτι γυναικείῳ καὶ ὀφθαλμῶν αἴρει τραχώματα.

Τὸ δὲ ἧπαρ αὐτοῦ ξηρὸν λεῖον μετὰ ἀρσενίκεως ἐν πόσει δοθὲν σὺν οἴνῳ ἐν βαλανείῳ βῆχα καὶ κυνάγχην ἄκρως ἰᾶται.

Ὁ δὲ μυελὸς αὐτοῦ σὺν τῷ ἀπὸ ὀφθαλμῶν ἐκρεουμένῳ ῥύπῳ πινόμενος θηριοδήκτοις βοηθεῖ καὶ πάσῃ φαρμακείᾳ ἀντιτάσσεται.

Ἐπὶ δὲ δέρματος ἐλάφου ἐάν τις καθεύδῃ, οὐ βλαβήσεται ὑπὸ ἑρπετοῦ ἰοβόλου.

P. 58, l. 24. § 5] ΕΧΙΝΟΣ χ. ὁ καὶ ἀκανθόχειρος (*sic*) λεγόμενος ζῶόν ἐστι σμικρόν, πάνυ πονηρόν. Τοῦτον ∾ ἔχε μέγα φάρμακον πλὴν τῆς χολῆς.

P. 59, l. 1. § 6] Ῥίψον γὰρ (lire δὲ ?) αὐτήν, ὅτι πάνυ ἐστὶ βλαβερά.

§ 8] Τούτου τὸ ταριχευθὲν σῶμα διδόμενον ξηρὸν ἐν πόσει (f. 570 v.) ἐπιλ., τρόμον, σκ. καὶ ὅσα τοιαῦτα ἰᾶται. Νεφρικοῖς δὲ καὶ ἰσχιαδικοῖς δίδου οὐγγ. α΄.

§ 7] Ἡ δὲ κεφ. α. μόνη καυθεῖσα καὶ λειωθεῖσα καὶ ἐπιχρ. τῇ κεφαλῇ ἀλ. δασ.

§ 10] Τὸ δὲ ὅλον σῶμα μετὰ τῶν σπλ. χωρὶς τῶν ἐντέρων καὶ τῆς χ. καρυκευθὲν καὶ ξηρανθέν, εἶτα λειωθὲν καλῶς ἔνθου ἐν ἀγγείῳ ὑελίνῳ, καὶ δίδου μετ᾽ ὀξυμέλιτος οὐγγ. α΄ ἐλεφαντιῶσι καὶ ὑδρωπικοῖς τοῖς ἀνὰ σάρκα, καὶ ἰαθήσονται.

§ 11] Τὸ δὲ ἧπαρ αὐτοῦ ὀπτὸν σὺν τῷ πνεύμονι ἐσθιόμενον ἢ ξηρὸν λεῖον ἐν βαλανείῳ σὺν οἴνῳ πινόμενον συνάγχας ἰᾶται.

P. 61. § inédit : ΗΜΙΟΝΟΣ ζῶόν ἐστιν ἐξ ὄνου καὶ ἵππου θηλείας κυοφορούμενον.

§ 1] Τούτου ὁ ἐν ὠτίῳ ῥύπος ἐν πότῳ λάθρα γυναικὶ δοθεὶς σὺν οἴνῳ, οὐδέποτε συλλήψεται.

§ inédit : Ὁμοίως καὶ οἱ ὄνυχες αὐτοῦ κεκαυμένοι τὸ αὐτὸ ποιοῦσι.

§ 4] Ταῦτα δ᾽ εἰσὶ τοῦ θήλεως ἡμιόνου τὰ ἀποτελέσματα. Τοῦ μέντοι ἄρρενος τὸ οὖρον εἰ συνεψήσεις ∾ λιθαργύρῳ, καὶ καταπλάσεις, ποδ. μεγάλως ὠφελήσεις · καὶ ἐπὶ μὲν ἀνδρῶν τοῦτο, ἐπὶ δὲ γυναικῶν τὸ τοῦ θήλεως.

P. 62, l. 3. § 1] ΘΗΡΑΘΟΣ (*sic*), ἣν καὶ φαλάγγιον καὶ ἀράχνην προσαγορεύουσι, ζῶόν ἐστι σμικρὸν ἑξάπουν, πᾶσι γνώριμον. Αὕτη ληφθεῖσα καὶ συντριβεῖσα καὶ σὺν ἐλαίῳ καταπλασθεῖσα μετώπῳ καὶ κροτάφοις τριταϊκὰς περιόδους ἰᾶται.

§ 3] Ἐν ὀλίγῳ ∾ συνεψηθεῖσα ὠτ. ἰ. ∾ ποσί.

§ 4] Ταύτης δὲ τὸ ὕφασμα ἐπιτιθέμενον αἱμ. ἵστ. πᾶσαν καὶ φλεβῶν τὰς ῥήξεις ἵστησί τε καὶ ἀφλεγμάντους διατηρεῖ.

§ inédit : Ἐν ἐλαίῳ δὲ ταύτην ἀποπνίξας, ἐκ τοῦ ἐλαίου κατάχριε τοῖς ἀσπιδοδήκτοις καὶ εὐθέως ἰάσῃ τοὺς πάσχοντας.

22. § 1] ΙΠΠΟΣ ζῶόν ἐστιν ὠκύτατον. Τοῦτο γεννώμενον ἔχει ἐν τῷ μετ. ἐπιδερμίδος ὡς νεφ. ὅπερ ∾ λέγουσι. Τὸ τοιοῦτον νεφ. ὁ φορῶν φιλοτήσιον (*sic*) ἕξει μέγ. Εἰ γὰρ μόνον δι᾽ αὐτοῦ ἅψεταί τινος, σφόδρα ἀγαπήσει αὐτόν · κἂν ξηράνας δέ, κόψας ἐξ (f. 571 r.) αὐτοῦ καὶ τρίψας δῷς τινι πιεῖν, τὸ αὐτὸ δράσεις. Ὁμοίως δὲ καὶ ἐν βρώσει · φιλητήσῃ γὰρ ὑπ᾽ αὐτοῦ σφόδρα.

P. 63, l. 6. § 3] Τῆς δὲ θηλείας ἵππου τὸ γάλα σὺν μέλιτι ἐγχριόμενον λευκ. λεπτύνει.

§ 3] Ἡ δὲ χολὴ μετὰ μέλιτος χριομένη ὀξ. παρ.

§ 4] Ὁ δὲ ὄνυξ α. θυμ. ὠκυτόκιόν ἐστι.

§ inédit : Ἡ δὲ κόπρος τοῦ ἵππου ἐπιτιθεμένη αἱμορραγίαν ἵστησι.

P. 64, l. 26. § 21] ΚΥΝΟΠΟΤΑΜΟΣ ὁ καὶ κάστωρ λεγόμενος γνωστός ἐστι. Τούτου οἱ ὄρχεις καστόρεον κέκληνται · (cp. le v. i.) ὅπερ λεῖον ∾ ἄγει · πιν. δὲ σὺν ῥ. ὠτίου θηλείας ἡμιόνου λαθραίως ἀτοκιόν ἐ. Σὺν ἀνηθίνῳ δὲ ἐλαίῳ ἑψηθὲν καὶ ἀλειφθὲν νεῦρα χ. καὶ ψ. ἀποσοβεῖ · σὺν οἴνῳ ὑστερικὰς πνιγμονὰς ἰᾶται · σὺν δὲ πηγ. ∾ ἄκρως ἰᾶται καὶ ἐπιληπτικοὺς καὶ ὀπισθοτονικούς.

§ inédit : Εἰς δὲ τὰ κατὰ τὸ ἐγκέφαλον (*sic*) πάθη καὶ τὸν πνεύμονα δι' εἰσπνοῆς θυμιώμενον μεγάλως ὀνίνησι.

P. 65, l. 5. § 22] Τὸ δὲ δέρμα ∾ φορ. ἐν ὑποδήματι, ποδαλγίαν ἰᾶται.

§ inédit : Ἡ δὲ κόπρος αὐτοῦ αἱμόρροιαν ἵστησι γυναικός · θυμιαθεῖσα δὲ ἑρπετὰ διώκει.

P. 63, l. 10. § 1] ΚΑΜΗΛΟΣ ζῷόν ἐστι μέγιστον.

§ inédit : Ταύτης ὁ ἐγκέφαλος ξηρὸς μετ' ὄξους πινόμενος ἐπιληπτικοὺς ἰᾶται.

§ 4] Ἡ δὲ ἄφοδος καυθεῖσα κ. σ. ἐλ. λειωθεῖσα ἀλ. κ. τρ. ἰᾶται ἀκριβῶς τὰς ἐκ νόσου ῥυείσας καταχριομένη.

§ 5] ὑδρωπικοὺς δι' οὔρων κενοῖ. Manque le mode d'application, qui est indiqué dans les mss. A (καταπλασσομένη) et R (ἐπιπλασσομένη).

§§ 6 et 7] Ξηρὰ δὲ λ. ἐν ὕδ. ποθ. ∾ διώκει.

§ 2] Τὸ δὲ γάλα αὐτῆς οὐ πήγνυται.

§ inédit : Καὶ εἰ καταμιχθείη δὲ ἑτέρῳ γάλακτι κἀκεῖνο ἄπηκτον ποιεῖ · καὶ πινόμενον θερμὸν ἱερὰν νόσον θεραπεύει. Τὰ δὲ κρέατα ἑφθὰ ἐσθιόμενα ὁμοίως τὸ αὐτὸ δρῶσι.

24. § 9] ΚΡΟΤΩΝ κύων μικρός ἐστι οἱονεὶ νεογέννητος.

P. 64, l. 5 et 9. §§ 11 et 13] Τούτου ἔτι θηλάζοντος ἡ κόπρος ξηρὰ λειωθεῖσα καὶ δοθεῖσα ἐν πότῳ ἰκτ. κ. δυσ. ἰᾶται · καὶ ὑδρωπικοὺς τοὺς ἀνὰ σάρκα ὠφελεῖ.

§ 14] Μετὰ ὄξους δὲ συγχριομένη φλεγμονὰς αἰδοίων ἰᾶται.

§ 12] Σὺν δὲ μέλιτι (f. 571 v.) ἐγχρ. τ. λ. καὶ τῷ στήθει συναγχ. ἄ. ἰ.

§ 15] Καυθεῖσα δὲ ∾ ἐκριζοῖ.

§ 16] Σὺν τερ. δὲ ἐπ. κονδ. ἰᾶται.

§ 17] Μετὰ δὲ κηρωτῆς καὶ ῥοδ. ποιεῖ πρὸς ἕλκη ῥ. καὶ δυσαπούλωτα · σὺν ἐλ. μελισσῶν κ. σφ. δήγματα ἰᾶται.

§ 22, en grande partie inédit] Ζῶντος δὲ τοῦ κρότωνος ἀνατμηθέντος καὶ ἔτι ὄντος θερμοῦ ἐπιτεθέντος τραχήλῳ καὶ λαιμῷ συναγχικῶν, θαυμασίως θεραπεύει, ὡς ἐγὼ πεπείραμαι. Ἐὰν δέ τις ἀσθενῶν καὶ θέλῃ γνῶναι πότερον ζήσεται ἢ ἀποθανεῖται, λαβὼν ψύχαν (l. ψίχα) ἄρτου ζέοντος, ἐκμαζάτω τὸ πρόσωπον καὶ

τὰς μασχάλας, ἔτι τε τὰς χεῖρας καὶ τοὺς πόδας ἑαυτοῦ καὶ δότω κύνα (l. κυνὶ) φαγεῖν · καὶ ἐὰν μὲν φάγῃ, ζήσεται · εἰδ' οὖν (l. εἰ δ' οὔ), ἀποθανεῖται.

Article inédit : ΚΥΩΝ ζῶόν ἐστι ταχύτατόν τε καὶ πονηρόν, καὶ μάλιστα ὁ θηρατικός. Οὗτος ὅταν ὀστοφαγήσῃ, γίνεται ἡ κόπρος αὐτοῦ θηραπευτικὴ συναγχικοῖς. Ξηρὰ δὲ λεῖα (*sic*) μετὰ γάλακτος πινομένη δυσεντερικοὺς ἰᾶται, ἕλκη τε παλαιὰ τοῖς πρὸς ταῦτα μιγνυμένη φαρμάκοις, οἷον κηρῷ, μυρσίνῳ ἐλαίῳ καὶ τερεβινθίνῃ. Σὺν δὲ μέλιτι ἀναληφθεῖσα καὶ χριομένη συναγχικοὺς θεραπεύει καὶ φλεγμονὰς παρισθμίων.

Ἡ πιτύα δὲ τοῦ ἄρτι γεννητοῦ κυνὸς βοηθεῖ λυσσοδήκτοις. Ὁμοίως καὶ γάλα ἐν κλίνῃ πινόμενον ἐφ' ἡμέρας ζ', ὅσον κεράτια ιη', κωλυομένου τοῦ πάσχοντος ὥστε μὴ ὑπνοῦν.

Χλιαρὸν δὲ τὸ γάλα ἐνσταζόμενον τοῖς ὠσὶ δυσηκοίαν θεραπεύει.

P. 65, l. 8. § 23] ΚΡΟΚΟΔΕΙΛΟΣ ὁ χ. ζῶόν ἐστι πλατυκέφαλον οὐρὰν ἔχον μακράν.

§ 24] Τούτου ∾ ποιήσῃ ξηρίον, ὅταν γένηται χρεία χειρουργίας ἢ καύσεως, καὶ ἐπιπάσσῃ τῷ τόπῳ τῷ μέλλοντι τ. ἢ κ. ἄνευ ὀδύνης ποιήσει δέξασθαι τὴν τομήν.

§ 28] Ἡ δὲ κόπρος σὺν ὄξει καταχριομένη ἀλφοὺς ἀπορρίπτει · σὺν δὲ μέλιτι ἐγχριομένη λευκώματα αἴρει · σὺν ἐλαίῳ δὲ πρόσωπα στίλβει.

§ 29] Τὸ δὲ αἷμα αὐτοῦ χριόμενον ἀμβλυωπίαν (f. 572 r.) ἰᾶται καὶ ὀξυδορκίαν παρέχει.

§ inédit : Ὅλος δὲ ὁ κροκόδειλος κεκαυμένος ἕως οὗ τεφρωθῇ καὶ παραμιγνύμενος κριθίνῳ ἀλεύρῳ καὶ παντοίοις ἀλόγοις, ἵπποις τε καὶ βουσὶ καὶ τοῖς λοιποῖς πάχος ἐμποιεῖ, τινὲς δὲ καὶ ἀνθρώποις < ὡς > παχύνεσθαι οὕτω σκευάζουσι · κροκοδείλου τὴν τέφραν ἀλεύρῳ καὶ μέλιτι φωράσαντες διατρέφουσιν ἐξ αὐτοῦ ὄρνιν, μηδενὸς ἄλλου γευομένην. Εἶτα θύσαντες καὶ ὀπτήσαντες διδόασιν ἐσθίειν τῷ μέλλοντι παχυνθῆναι, καὶ γίνεται παχὺς πλὴν μηδὲ (lire μηδὲν ?) τῶν τῆς ὄρνιθος καταλειπτέον, μόνον δὲ τὰ ἔνδοθεν αὐτῆς σὺν τοῖς ἐντέροις ῥιπτέον, ἵνα μὴ βλάβης γένωνται πρόξενα.

23. § 1] ΛΥΚΟΣ ζ. ἐστι τετράπουν, ἄγ. καὶ πον.

§ inédit : Τούτου ἡ κόπρος λευκοτάτη ἐστίν, ἐπί τινων εὑρισκομένη θάμνων · αὕτη πινομένη κωλικοὺς θαυμασίως ὀνίνησι.

P. 66. § 5] Τὸ δὲ ἧπαρ αὐτοῦ ξ. λ. ἐπ. ἡπ. ἄκρως ἰᾶται.

§ inédit : Μίγνυται δὲ καὶ τῷ δι' εὐπατωρίου φαρμάκῳ, καὶ δίδοται εἰς πόσιν. Τὸ δὲ στέαρ αὐτοῦ λεῖον καταχριόμενον νεῦρα καὶ ἄρθρα διαλύει καὶ ὀπισθοτονικοὺς ἰᾶται.

§ 7, conservé en partie par le v. i.] Ἡ δὲ χολὴ αὐτοῦ ἐν δέρματι χρισθεῖσα σὺν ἐλατηρίῳ καὶ ἐπιχρισθεῖσα (τε au-dessus de χρις, de première main) τῷ

ὀφθαλμῷ (corrigé de première main en ὀμφάλῳ) καθαίρει τὴν γαστέρα πλέον παντὸς καθαρσίου.

§ inédit : Ἡ δὲ καρδία αὐτοῦ ὀπτὴ ἐσθιομένη νῆστις λυκανθρώπους τοὺς καὶ βαβουτζικαρίους λεγομένους θεραπεύει ἐπινηστεύοντας ἕως ἡμέρας γ'. Τὸ δὲ δέρμα αὐτοῦ ἐάν τις ἐργάσηται ὑποδήματα καὶ φορῇ, οὐκέτι ἀλγήσει πόδα ποτέ.

8. §§ 3 et 6, en grande partie inédits] Ὁ δὲ δεξιὸς αὐτοῦ ὀφθ. λάθρα φορούμενος σὺν τῷ πρώτῳ τῆς οὐρᾶς σπονδύλῳ ὁμοῦ καὶ ἰδίως ἐν χρυσῷ ἀγγείῳ θαυμασίας ἐνεργείας ποιεῖ. Πᾶν γὰρ τετράποδον ἥμερόν τε καὶ ἄγριον φεύξεται ἀπὸ τοῦ φοροῦντος, καὶ εἰ διέρχεται ἀνὰ μέσων (l. μέσον) ἐχθρῶν ὁ φορῶν, πάντες φιμωθήσονται · ἔτι τε ποιεῖ τὸν φοροῦντα ἔνδοξον καὶ ἐπιτευκτικὸν καὶ νικητὴν καὶ τῷ εἴδει εὐάρεστον καὶ ταῖς γυναιξὶ φιλητὸν καὶ ἐρωτικόν, καὶ οὔτε ὀφθαλμιᾶν ἐᾷ · περιαπτόμενον δὲ καὶ τοὺς ἑλκωθέντας ὀφθαλμοὺς ἰᾶται.

14. Article inédit, conservé par le v. i. (incomplet dans le ms.) :

§ 8] ΛΑΓΩΟΣ ζῶόν ἐστι πᾶσι γνωστόν.

P. 67, § 18] Ὁ ἐγκέφαλος ἑφθὸς παρατριβόμενός τε καὶ (f. 572 v.) ἐσθιόμενος ἐπὶ τῶν ἐκφυομένων τοῖς παιδίοις ὀδόντων ὠφελιμώτατός ἐστι · ἀνωδύνως γὰρ ποιεῖ φύεσθαι τοὺς ὀδόντας.

§ inédit : Ὀπτὸς δὲ ὁ ἐγκέφαλος ἐσθιόμενος τρομικοὺς ἰᾶται, καὶ τοὺς ἐνουροῦντας ἀπαλλάττει τοῦ πάθους.

P. 66. § 10] Ὁ δὲ πνεύμων αὐτοῦ εἰς λεπτὰ τμηθεὶς καὶ τοῖς βλεφάροις ἐπιτεθεὶς ὀφθαλμῶν οἰδήματα παύει.

§ 12] Οἱ δὲ νεφροὶ ξηρανθέντες καὶ τριβέντες καὶ σὺν πεπέρει ἐν μελικράτῳ ἐπιπασθέντες καὶ ποθέντες νεφρικοὺς ἰῶνται.

P. 67. § 13] Ἡ δὲ χολὴ αὐτοῦ σὺν νάρδῳ ἐνσταζομένη κώφωσιν ἰᾶται.

§§ inédits : Ἡ δὲ πιτύα αὐτοῦ ξηρὰ λεία πινομένη μετὰ λημνίας σφραγῖδος αἱμοπτοϊκοῖς βοηθεῖ.

Σὺν δὲ σατωρίῳ (*sic*) ἥ τε χολή, ἡ πιτύα καὶ ὁ ἐγκέφαλος προστιθέμενα ἐν πεσσῷ σύλληψιν ἐμποιεῖ. (Cp. le § 13.)

Τὸ δὲ στέαρ καὶ ἡ πιτύα ἐπιτιθέμενα ἰοβόλα ἕλκη ἰᾶται.

§ 16] Αἱ δὲ τρίχες αὐτοῦ καυθεῖσαι καὶ λειωθεῖσαι καὶ ἐπιπασθεῖσαι τοῖς πυρικαύστοις ἕλκεσι καθαρὰν οὐλὴν ἐμποιοῦσι καὶ τριχοποιοῦσι. Μετὰ δὲ λευκοῦ τοῦ ἐν τῷ ᾠῷ ἐπιτεθεῖσαι πᾶσαν αἱμορραγίαν συστέλλουσιν.

P. 68. Article inédit conservé en partie par le v. i. : ΜΥΡΜΗΞ γνωστόν ἐστι πᾶσι.

6. § 1] Τῶν δὲ μυρμήκων εἴδη εἰσὶν ἑπτά, καὶ γνώριμοι μὲν οἱ κοινοί, οἱ δὲ ἀνδροκέφαλοι (l. ἁδροκέφαλοι) καλοῦνται, οἵτινες καὶ τῇ χροιᾷ εἰσι μέλανες · ἄλλοι δὲ μεγάλοι καὶ πτερωτοί, καὶ ἕτεροι ἀρουραῖοι, καὶ ἄλλοι ἐνόδιοι μικροί, καὶ

ἄλλοι οἳ καὶ μυρμηκολέοντες λέγονται, μείζονές τε ὄντες τῶν ἄλλων καὶ ποικίλοι · φυσικῶς δέ εἰσιν οὗτοι σαρκοφάγοι, τάχιον ἀποθνήσκοντες.

§ 2] Οἱ οὖν κοινοὶ μύρμηκες ἀποτεμνόμενοι τὰς κεφαλὰς καὶ προστριβόμενοι τοῖς βλεφάροις τὰς ἐν αὐτοῖς κριθὰς θεραπεύουσιν. Ὁμοίως καὶ σιτοφόροι ἀρουραῖοι τὸ αὐτὸ ποιοῦσιν.

§ 4] Ἐὰν δέ τις μύρμηκας σὺν ὕδατι ἑψήσας ἕως ἐκτριτώσεως ὕδατος καὶ καταντλήσῃ τοὺς πόδας ἢ τὰς χεῖρας τὰς ἐν αὐτοῖς μυρμηκίας ἀποπίπτειν ποιήσει.

§ 3] Ἐὰν δέ τις μύρμηκας ἑψήσας μετὰ χολοῦ ἀσφοδέλου δώῃ τινὶ πιεῖν, ἀνέντατος ἔσται ὅσον ἂν ζῇ χρόνον.

P. 67, l. 23. § 1] ΜΥΣ κατοικίδιος πᾶσι γνωστός ἐστι. Τούτου ∾ καύσας καὶ τεφρώσας καὶ σὺν στέατι χοιρείῳ ἢ ἀ. λειώσας περίχρισον, ἀλωπεκίας καὶ ἰάσῃ.

P. 68, l. 1. § 4 en partie inédit] Ἡ κόπρος δὲ (f. 573 r.) αὐτοῦ ὁμοίως τὸ αὐτὸ ποιεῖ, καὶ ταῖς τῶν παιδίων δὲ ἕδραις προστιθεμένη πρὸς ἔκκρισιν προτρέπει. Λεία δὲ σὺν ὕδατι ἐγχριομένη μαστῶν σκληρότητα καὶ ὀδύνας ἰᾶται τὰς μετὰ φλεγμονῆς.

§ 5, avec la deuxième addition du v. i.] Ἐπιπασσομένη δὲ ξηρὰ ἐπὶ ἡμέρας γ′ ἐξοχάδας αἴρει · χρὴ δὲ προκλύζειν αὐτὰς οἴνῳ. Σὺν ὕδατι δὲ περιχριομένη λέπρας καὶ λειχῆνας θεραπεύει.

P. 67, § 3] Ζῶντος ∾ μυός, ἐὰν κόψῃς τὴν οὐρὰν καὶ τοὺς πόδας, τὰ ὦτα καὶ τὰς ῥίνας καὶ ἐνδήσας περιάψῃ, πάντα τύπον ἰάσῃ ῥιγοπυρέτων χρονίων θαυμαστίως.

29. § inédit, conservé en partie par le v. i., première addition : Ἐὰν δὲ μετὰ βελόνης διὰ στόματος τούτου διαπεράσῃς ῥάμμα καὶ ἐκβάλλῃς ἐπὶ τὴν ἕδραν καὶ τὸ ῥάμμα δήσῃς, κωλικοὺς ἰᾶται.

Articles inédits :

ΝΕΒΡΟΣ ἐστι τὸ τῆς ἐλάφου γέννημα. Τούτου ὁ ἐν τοῖς ὀφθαλμοῖς εὑρισκόμενος ἔνδοθεν ῥύπος μέγιστόν ἐστιν ἀντιφάρμακον τοῖς πίνουσι δηλητήριον διδόμενος μετὰ ὕδατος.

Τὸ δὲ στέαρ αὐτοῦ καταχριόμενον κεφαλῆς ἕλκη καὶ ἰχῶρας καὶ πίτυρα καθαίρει μετὰ σταφίδος ἀγρίας. Τὸ δὲ αἰδοῖον τοῦ ἄρρενος ἐλάφου λεῖον ξηρὸν σὺν οἴνῳ ἐχεοδήκτους βοηθεῖ. Μίγνυται δὲ συνθέτοις βοηθήμασι τοῖς τοῦτ' αὐτὸ δυναμένοις.

ΟΦΙΣ θηρίον ἐστὶ πονηρόν, ἄπνουν (lire ἄπουν), συρόμενον δέ, πᾶσι γνωστόν. Οὗτος, ὅταν γηράσῃ καὶ οἱ ὀφθαλμοὶ αὐτοῦ ἀμβλυθῶσι, θέλει πάλιν νέος φανῆναι. Διὸ καὶ πολιτεύεται ἡμέρας μ′ καὶ νύκτας μ′ ἕως οὗ τὸ δέρμα αὐτοῦ χαυνωθῇ, καὶ ζητήσας ἐν πέτρᾳ στενὴν ὀπὴν ἑαυτὸν εἰς ταύτην ἐμβάλλει, καὶ τὸ σῶμα ἐκθλίψας ἀποβάλλει τὸ δέρμα καὶ ἀνανεοῦται.

Τούτου ἡ δορὰ αὕτη καυθεῖσα καὶ λειωθεῖσα μετὰ ἅλατος καὶ τοῖς ὀδοῦσι χρισθεῖσα ὀδονταλγίας παύει. Ὑποθυμιωμένη δὲ λάθρα πρὸ τῆς ἐλεύσεως ῥίγη χρόνια λύει.

Σὺν δὲ ὀστοῖς ἐλαιῶν γ′ ἢ ε′ ἢ ζ′ τὸν ἀριθμὸν ὑποθυμιωμένη ἐσοχάδας καὶ ἐξοχάδας θεραπεύει ὡς οὐδὲν ἕτερον.

Περιαπτομένη δὲ ἡ δορὰ ἡμικρανίας ἰᾶται.

Τὰ δὲ ὑπ' αὐτῶν ὄφεων γινόμενα δήγματα ἰᾶται βάτραχος ὑδρίτης ζῶν σχισθεὶς καὶ τεθεὶς καὶ δεθείς · ἐκβάλλει γὰρ εὐθὺς τὸ ἰὸν ἐκτός.

P. 69, l. 16. § 1] ΟΝΟΣ τετράπουν ἐστὶ (f. 573 v.) ζῷον πᾶσι γνωστόν.

§ 2] Τούτου ἡ κόπρος λεία σὺν ἅλατι ἐπιτιθεμένη πᾶσαν αἱμορραγίαν ἀρτηριῶν καὶ φλεβῶν ἵστησιν.

20. §§ 3 et 4] Εἰ δέ τις πτύει αἷμα καὶ δώσει λάθρα σὺν ἀρώματι ἐκ τοῦ χυλοῦ τῆς κόπρου πιεῖν, ἄκρως ἰάσῃ. Καὶ σκορπιοδήκτοις ὁμοίως τὸ αὐτὸ βοηθεῖ.

§§ inédits : Τὸ δὲ γάλα τῆς ὄνου σὺν μέλιτι ἀκάπνῳ ἐγχριόμενον τὰ γινόμενα κατὰ τοὺς ὀφθαλμοὺς δριμέα ῥεύματα θεραπεύει.

Ὄνυξ δὲ ὄνου κεκαυμένος λεῖος σὺν γάλακτι γυναικείῳ (lire γυναικὸς) ἀρρενοτόκου κατενσταζόμενος ὀφθαλμῶν αἴρει τραχώματα.

P. 70. § 1] ΠΡΟΒΑΤΟΝ ζῶόν ἐστι πᾶσι γν.

§ inédit : Τούτου ἡ κόπρος σὺν ὄξει καταχριομένη ἡμικράνου πόνον παύει, καὶ μυρμηκίας καὶ ἀκροχορδόνας καὶ δοθῆνας (l. δοθιῆνας) καὶ ἥλους ἰᾶται.

§ 6] Ὁ δὲ πνεύμων ἐσθ. ν. ἀμέθυσον ποιεῖ τὸν ἐσθ. καὶ ὅσον <ἂν> οἶνον πίει (l. πίῃ), τὴν ἡμέραν ἐκείνην οὐ μεθυσθήσεται.

§§ inédits : Τοῦ γάλακτος αὐτοῦ τὸ ἄνθισμα καταχριόμενον λοιμικὰ νοσήματα ἀποκαθαίρει.

Ὁ δὲ ἐγκέφαλος αὐτοῦ ἐφθὸς ἐσθιόμενος καὶ παρατριβόμενος ταῖς τῶν παίδων ὀδοντοφυίαις ἀκριβῶς βοηθεῖ, σύντομόν τε ποιῶν τὴν ἔκφυσιν καὶ ἄνευ πόνου.

Τὸ δὲ ἔριον αὐτοῦ μὴ ἐκπληθὲν (l. ἐκπλυθὲν?) τοῦ ῥύπου ἀποκρουστικὸν γίνεται φλεγμονῶν τῶν ἐπὶ τραύμασιν ἐκ βελῶν ἢ πετρῶν γινομένων. Σὺν οἰνελαίῳ χλιαρῷ πυριαζόμενον καὶ ἐπιτιθέμενον, καυθὲν δὲ ξηραντικὸν γίνεται, ὥστε καὶ πλαδαρὰς σάρκας ἀπὸ τῶν ἑλκῶν ἀποτήκειν.

Τὸ δὲ στέαρ αὐτοῦ ἡγείσθω σοι χρήσιμον.

Πνεύμων δὲ ἀρνίου νεαρὸς καταπλασθεὶς φύγεθλα ποδῶν καὶ χειρῶν ἰᾶται.

P. 71, l. 1. § 9] Ξηρὸς δὲ ὁ πνεύμων λεῖος ∾ φαρμάκων κινδυνεύουσιν βοηθεῖ μεγάλως.

§ 10] Τὸ δὲ αἷμα αὐτοῦ ξηρὸν ποθὲν ἐπιληπτικοῖς βοηθεῖ.

P. 60, l. 13. § inédit : ΣΑΥΡΟΣ (ταῦρος ms., faute du rubricateur) ζῶόν ἐστι συρόμενον μέν, πλὴν ἔχον καὶ πόδας.

§ 1] Γένη δέ εἰσι σαύρων γ′ · καὶ ὁ μὲν ἡλιακὸς λέγεται, ὁ δὲ χαλκοῦς, ὁ δὲ χλωρός.

§§ inédits : Τούτου ἡ κεφαλὴ κεκαυμένη καὶ ἐπιτιθεμένη σκόλοπας ἐξάγει καὶ μυρμηκίας καὶ ἀκροχορδόνας καὶ ἥλους.

Τὸ δὲ ἧπαρ αὐτῆς (*sic*) κεκαυμένον, ἐπιπασσόμενον ὀδοῦσι βεβρωμένοις (f. 574 r.) ἀνωδυνίαν ποιεῖ.

Ὅλος δὲ ὁ σαῦρος ἀνατμηθεὶς καὶ ἐπιτεθεὶς σκορπιοδήκτους ἰᾶται.

P. 71, l. 15. § 1] ΣΥΑΓΡΟΣ ἐστιν ὁ ἀγ. χ. ∾ ἀφροδίσια παρ.

§§ inédits : Οἱ δὲ ὄνυχες αὐτοῦ κεκαυμένοι καὶ σὺν οἴνῳ λειωθέντες καὶ πινόμενοι νῆστις κοιλιακοὺς ἰῶνται.

Ὁ δὲ ἐγκέφαλος αὐτοῦ σὺν ἀμύλῳ καὶ ῥοδίνῳ λειούμενος καὶ ἐπιχριόμενος ποδαλγικὰς ὀδύνας παραμυθεῖται.

Τοῦ δὲ ἥπατος αὐτοῦ τὸ ἄκρον τεμνόμενον καὶ σὺν ὕδατι ὀλίγῳ λειούμενον καὶ καταχριόμενον μετὰ πτεροῦ ἐρυσιπέλατα καὶ ἕρπητας θεραπεύει.

Ἡ δὲ κόπρος αὐτοῦ θυμιωμένη τριταϊκοὺς ἀπαλλάσσει καὶ ὑστερικὰς πνιγάδας ἰᾶται.

Τῆς δὲ θηλείας ἡ κόπρος σὺν μέλιτι λεία καταχριομένη χοιράδας ἰᾶται καὶ πᾶσαν σκληρίαν μαστῶν.

§ 3] Ἡ δὲ χολὴ καὶ ἡ πιτύα αὐτοῦ πινομένη πρὸς π. θ. φάρμακα ἀλεξητήριον γίνεται.

P. 72, l. 4. § 6] ΣΑΛΑΜΑΝΔΡΑ ∾ σαύρου χλωροῦ, ἐν. θ. δὲ καὶ ὕ. δ.

16. § 12] Τούτου ἡ τέφρα σὺν ἐλαίῳ ἐπιχριομένη μυρμηκίας χειρῶν καὶ ποδῶν ἀνασπᾶν πέφυκεν.

§ inédit : Ἔνιοι δὲ καὶ πρὸς ψωρικὰ βοηθήματα, ἔτι δὲ καὶ λεπρικὰ καὶ σηπεδονώδη τὴν τοιαύτην κόνιν μιγνύουσιν.

20. § 1] ΤΑΥΡΟΣ ζῶόν ἐστι π. γνώριμος.

§ 2] Τούτου ἡ χολὴ σὺν ψιμμιθίῳ καὶ ᾠοῦ λεπτῷ (lire λέπει?) καταχριομένη οὐλὰς ὁμοχρόους (leçon meilleure) τῷ λοιπῷ σώματι ποιεῖ.

§ 3] Σὺν ὄξ. δὲ σμ. καὶ κιμωλίᾳ ἀλφοὺς καὶ λεύκας ἰᾶται καὶ φακοὺς ὄψεως.

§ inédit : Σὺν δὲ χυλῷ σεύτλου καὶ ὀξελαίῳ πίτυρα κεφαλῆς καθαίρει.

P. 73. § 9] Σὺν μέλιτι δὲ ἀνατριβομένη νῆστις στομαχικοῖς βοηθεῖ.

§ 10] Σὺν δὲ ἰρ. μ. ἐν πεσσῷ προστεθεῖσα ἐμμ. ἄγει.

§ 11] Σὺν δὲ ἀμ. μ. καὶ ἐλλεβόρῳ προστεθεῖσα ἔ. ν. ἕλκει.

§ 12] Σὺν ἐλατηρίῳ δὲ περιχρισθεῖσα τῷ δακτύλῳ (l. δακτυλίῳ) ἢ τῷ ὀμφ. πλέον ∾ γαστέρα.

§ 13] Σὺν δὲ ἀρτεμισίᾳ καταπλασσομένη τῷ ὀ. ἕλμ. κτείνει.

§ 14] Ἡ δὲ κόπρος αὐτοῦ ∾ αἱμορραγίας ἀναστέλλει.

§§ inédits : Τὸ δὲ αἷμα αὐτοῦ ξηρὸν πινόμενον ἀποστήματα πεπαίνει καὶ δυσεντερίαν ἰᾶται.

Τὸ δὲ κέρας αὐτοῦ κεκαυμένον μεθ' ὕδατος (f. 574 v.) πινόμενον ῥοῦν γυναίκειον ἵστησι. Καυθὲν δὲ καὶ λειωθὲν σὺν ὀμφακίνῳ ἐλαίῳ καὶ ἀλειφόμενον πολιὰς τρίχας μελάνας (lire μελαίνας?) ποιεῖ.

§§ inédits : ΤΡΑΓΟΣ πᾶσι γνωστός. Τούτου ἥπατος ὀπτωμένου ὁ ἀποστάζων ἰχὼρ νυκτάλωπας ἰᾶται ἐνσταζόμενος.

Τὸ δὲ αἷμα αὐτοῦ ξηρὸν ποθὲν πεπαίνει ἀποστήματα.

Τὸ δὲ δέρμα τοῦ τράγου καὶ τοῦ προβάτου νεωστὶ δαρὲν καὶ ἔτι θερμὸν ὂν περιτεθὲν ἐν τραύμασι θαυμαστῶς ἰᾶται, ὡς οὐκ ἄλλο τι.

P. 74. § 20] Ὁ δὲ ἐκ τοῦ πώγωνος αὐτοῦ ἐκκρινόμενος ῥύπος ποιεῖ ∾ καὶ ὀμφ. ἐλ. καταχριόμενος · σὺν ὄ. δὲ χριόμενος κεφ. παύει.

§ 21, en partie inédit] Τὸ δὲ στέαρ ∾ λεῖον ἐπιπασθὲν ὄνυξι ψωριώντων ἐκριζοῖ. Τὸ δὲ στέαρ τούτου ἐν πολλοῖς ἔστω (lire ἔσται?) σοι χρήσιμον.

14. § 1] ΥΑΙΝΑ ζῶόν ἐστι τετρ. πάνυ ἄγριον.

P. 75. § 6] Ταύτην ἐὰν θύσῃς σελήνης (en signe) ληγούσης ἐν παρθένῳ (en signe) καὶ ἐκ τοῦ πνεύμονος αὐτῆς ξηράνας δῷς ἐν πότῳ, σελ. θεραπεύσεις. Τοῦτο εἶδον κἀγὼ διὰ πείρας καὶ ἐθαύμασα · πυκνὸς γάρ τις ἐπιληπτικὸς τοῦτο λαμβάνων οὐκέτι τῷ πάθει κατέπιπτε. Δίδου δὲ ἀπὸ τούτου οὐγγ. β′ ἢ γ′.

§§ 7 et 8] Σκευάζεται δὲ ἡ χολὴ τῆς ὑαίνης καὶ σὺν ἑτέροις εἴδεσι ταύτῃ (ταύτ ms.) · καὶ ἔστιν ἡ σκευασία αὕτη · χολῆς ὑαίνης οὐγγ. ς′ ∾ σμύρνης οὐγγ. γ′, χυλὸν ἀειθαλοῦς οὐγγ. ι′, πεπ. ςγ (*scil.* ἑξαγία) γ′, μέλ. οὐγγ. ς′. Ταῦτα λ. εὖ μ. καὶ ἑψήσας ἀπόθου ∾ χρῶ. Ποιεῖ δὲ πρὸς ἀμβλυωπίαν καὶ ἀ. ὑποχ. καὶ νεφ. ἀχλύν, καὶ ὀξυωπίαν παρέχει.

§ 9] Ἐὰν δὲ ὑδροφοβικῷ ἢ λυσσ. δῷς φαγεῖν βραχὺ ἐκ τοῦ στέατος τῆς ὑαίνης λάθρα ἐν βρώματι, σωθήσεται.

P. 76, § 13] Τὸ δὲ ἧπαρ α. ξηρὸν πινόμενον τεταρταϊκοὺς ἰᾶται καὶ τρομικούς.

§ 16] Ὁ δὲ μυελὸς τῆς ῥάχεως ἐπαλειφόμενος ψοαλγικοὺς (ψοιαλγ. ms.) καὶ ἰσχιαδικοὺς ἰᾶται.

§ 19] Τὸ δὲ δέρμα ταύτης ἐάν τις ἐργάσηται ὑποδήματα καὶ φορῇ, οὐ μόνον οὐκ ἀλγήσει ποτὲ τοὺς πόδας, ἀλλὰ καὶ ἀλγήσας, εἰ φορέσῃ (l. φορήσει), ἰαθήσεται, ἀλλ' οὐδὲ κυνόδηκτος ἔσται.

§ 20] Ἡ δὲ χολὴ τῷ μετώπῳ καὶ τοῖς βλεφάροις περιχριομένη σὺν μέλιτι πάντα ῥ. ὀφθαλμῶν (f. 575 r.) ἵστησι καὶ ὀφθαλμίαν παύει.

24. § 1, en partie inédit] ΦΩΚΗ ζ. μὲν ἐ. τετράποδον ἐν θαλάσσῃ δὲ διάγον · ἀμφίβιον γάρ ἐστι. Τοὺς ἐμπροσθίους πόδας ὁμοίους ἔχει χερσὶν ἀνθρώπου, τὸ πρόσωπον δὲ μόσχου βοός. (Cp. l. Ier, § 4, p. 39, l. 25 de l'édition.) Ζωοτοκεῖ καθάπερ τὰ τετράποδα τῶν ζώων.

§ inédit : Τούτου ἡ πιτύα καστορίου δύναμιν ἔχει.

P. 77. § 13] Ὁ δὲ ἐγκέφαλος πιν. σεληνιαζομένους ἰᾶται καὶ ἱερὰν ν. θ.

P. 76, l. 27. § 2] Ἡ δὲ κεφαλὴ καυθεῖσα καὶ μ. κ. λειωθεῖσα ἀλ. ἰᾶται.

Ὁ δὲ πνεύμων ξηρὸς σὺν οἴνῳ πινόμενος πᾶσαν μανίαν καὶ ἐπιληψίαν ἰᾶται. (Cp. les §§ 9 et 10.)

P. 77, l. 9. § 7, en partie inédit] Τὸ δὲ στέαρ π. φλ. καὶ ὀδ. ἀ. αἴρει, καὶ παῖδας τοὺς εἰς τὸ φώκιον συνωθουμένους καταχριόμενον θεραπεύει.

§ 12] Ἡ δὲ χολὴ ∾ ὀφθ. ἴᾶται.

§ 11] Καὶ τὰ ὀστᾶ ὑποθυμιώμενα ὠκυτοκίαν παρέχουσιν.

8. § 6] Ἡ δὲ γλῶσσα ὑπὸ τοῖς ὑποδήμασι φορ. φιμοκάτοχός ἐστι.

§§ inédits : Τὸ δὲ δέρμα ἐάν τις ἐργάσηται ὑποδήματα καὶ φορῇ, οὐκ ἀλγήσει ποτὲ τοὺς πόδας. (Cp. livre I, lettre Φ, § 12, p. 41, l. 6 de l'édition.)

Ἡ δὲ κόπρος αὐτοῦ καὶ περισσοσαρκίαν ἀποτήκει.

Article inédit : ΧΟΙΡΟΣ ὁ καὶ ὗς καλούμενος πᾶσι γνωστός.

Τούτου ὁ πνεύμων τὰ ἐξ ὑποδημάτων παρατρήματα (l. παρατρίμματα comme le ms. D) θεραπεύει.

Τὸ οὖρον τῶν εὐνούχων ὑῶν ῥυπτικὸν ὑπάρχει · ὃ καί τινες ἐν λοιμῷ πιόντες ἐσώθησαν · λέπρας τε καὶ τὰ σηπεδονώδη τῶν ἑλκῶν καὶ ἰχῶρας καὶ πίτυρα θεραπεύει, καὶ τὰ προσπαίσματα (lire καὶ πρὸς τὰ πταίσματα?) τῶν ποδῶν ποιεῖ, ὥστε μὴ φλεγμαίνειν.

Ἡ δὲ χολὴ καὶ τὸ στέαρ σὺν ἀμυγδαλίνῳ ἐλαίῳ ἐνσταζόμενον ὠταλγίαν παύει.

Ὁ δὲ ἐγκέφαλος αὐτοῦ σὺν μέλιτι ἑφθὸς λεῖος ἐπιπλασθεὶς ἄνθρακας μαραίνει. Σὺν δὲ ἀμύλῳ καταπλασσόμενος ποδάγρας παρηγορεῖ. (En marge ση.)

Τὸ δὲ στέαρ τοῦ κάπρου σὺν ῥοδίνῳ ἐλαίῳ λειωθὲν ἐπινυκτίδας καὶ ἰχῶρας θεραπεύει.

Τὸ δὲ ἧπαρ τοῦ κάπρου ξηρὸν λεῖον σὺν οἴνῳ πινόμενον ἑρπετῶν δήγματα ἴᾶται.

P. 79, §§ inédits : ΩΩΝ ὀρνίθων τὰ ὄστρακα κεκαυμένα λεῖα σὺν ὀξυμέλιτι πινόμενα κύστιν αἱμορραγοῦσαν ἵστησιν.

Ὁλόκληρον δὲ τὸ ᾠὸν κεκαυμένον ἕως οὗ τεφρωθῇ καὶ σὺν ἀρσενίκῳ λειούμενον καὶ ἐμφυσώμενον τοῖς μυκτῆρσι ῥινῶν (f. 575 v.) αἱμορραγίαν ἀναστέλλει.

Τὸ δὲ λευκὸν τοῦ ᾠοῦ σὺν ψιμμιθίῳ καὶ ἀλεύρῳ (corrigé de première main en ἀμύλῳ) καταχριόμενον φλεγμονὰς παρηγορεῖ.

P. 101, l. 24. § 1] Νεαροῦ δε ᾠοῦ τὸ λευκὸν μετὰ πτεροῦ καταχριόμενον κατακαύματα ἴᾶται · σὺν δὲ ψιμμιθίῳ καταχριόμενον οὐλὰς μελαίνας λευκαίνει.

§§ inédits : Ὠμὸν δὲ τὸ ᾠὸν νῆστις ἐπιρροφώμενον τοῖς ὁδοιποροῦσιν ἀδίψους διατηρεῖ.

Ὠὰ δὲ (τε)τηγασμένα σὺν νίτρῳ λειοτάτῳ καὶ κηρῷ ἐσθιόμενα νῆστις κοιλίαν ῥέουσαν ἵστησιν.

Τὸ δὲ ἐκ τῶν ᾠῶν ἐκθλιβόμενον ἔλαιον ὠφέλιμόν ἐστιν ἐπὶ παντοίαις φλεγμοναῖς. Ἀποκρουστικόν ἐστι τὸ τοιοῦτον τούτων, ὡς οὐκ ἄλλο τι.

Τοῖς δὲ καθ' ἕδραν βιασμὸν πάσχουσιν ᾠῶν οἱ κρόκοι χωρὶς τῶν λευκῶν λειωθέντες σὺν πίσσῃ ξηρᾷ καὶ ἑψηθέντες πυρὶ καὶ ἐπιρροφώμενοι πολλὴν ὠφελίαν προξενοῦσι.

P. 79. § 2] Τὰ δὲ ἀράχνια ὠὰ ὑποθυμιώμενα ὠκυτόκια γίνεται. — Cp. les pages 101, 102 et 124 de l'édition.

P. 103. Titre du livre IV : ΠΕΡΙ ΖΩΩΝ ΕΝΥΔΡΩΝ. Titre courant : même texte.

P. 104. § 15, en partie inédit] ΑΣΤΑΚΟΣ θαλάσσιός ἐστι καὶ ὀστρακ. Τούτου ∾ κεκ. λεῖον σὺν χυλῷ ὀρύζης διδ. κοιλ. καὶ δυσεντερικοὺς ἰᾶται καὶ αἱμ. ἴ. σὺν οἴνῳ στύφῳ (*sic*) πινόμενον.

§ inédit : Ἡ δὲ σὰρξ ἐσθιομένη πέψιν ἐργάζεται.

§ 1, en partie inédit] ΒΑΤΟΣ ἰχθύς ἐστι θαλάσσιος. Οὗτος ἑψηθεὶς νεαρὸς ὢν διὰ τοῦ ζωμοῦ κοιλίας ἐπαγωγὸς γίνεται, καθ' αὑτόν τε καὶ μετ' οἴνου πινόμενος. Ἐσθιόμενος δὲ πυκνῶς εὐστόμαχός ἐστι καὶ εἰς ἀφροδίσια τοὺς ἐσθίοντας παρορμᾷ.

§ 3, en partie inédit] ΒΟΥΓΛΩΣΣΟΝ μικρὸς ἰχθύς ἐστι πᾶσι γνωστός. Τοῦτο ἐπιτεθὲν σπληνικοῖς καὶ ἰσχυρῶς δεσμευθὲν σπλῆνα τήκει φυσικῇ τινι δυνάμει ἐπὶ ἡμέρας τρεῖς φορούμενον καὶ μετὰ τὸ ἀρθῆναι κρεμάμενον εἰς τὸν καπνὸν καὶ ξηραινόμενον.

P. 105. § 10, inédit, conservé en partie par le v. i.] (Β)ΟΩΠΙΣ ἰχθύς ἐστι μικρὸς πᾶσι γνωστός. Αὕτη ζωμιστὴ ἐσθιομένη νεφρικοὺς (*sic*) ὠφελεῖ. Ἡ δὲ χολὴ αὐτοῦ σὺν γυναικείῳ γάλακτι ἐγχεομένη ὀξυωπίαν παρέχει.

P. 106. § 6] ΓΑΛΕΟΣ (l. meilleure) ἰχθύς ἐ. ποτ.

§ 7] Τούτου ἡ. χ. σὺν ὀποβαλσάμῳ ἐγχρ. λευκ. ἀποκαθαίρει.

§ 8] Τὸ δὲ ἧπαρ αὐτοῦ ἐσθ. μανίας καὶ ἐπιληψίας παύει.

§ 9] Ὅλος δὲ ὁ ἰ. ἐσθιόμενος (f. 576 r.) εὐστ. ἐ.

§ 5, en partie inédit] ΓΟΓΓΡΟΣ ἰ. ἐ. θαλάττιος ἐγχέλει (*sic*) ὅμοιος. Οὗτος σὺν ἐλ. ἑψ. καὶ τακεὶς καὶ διηθεὶς (l. διηθηθεὶς) τοῦ ἐλαίου ποιεῖ σκευασίαν τοιαύτην · ἐξ αὐτῆς τῆς γόγγρου οὐγγ. γ', κηροῦ οὐγγ. β', ἀμύλου οὐγγ. ις'. Οὕτω σκευασθεὶς καὶ ἐπιπλασσόμενος ῥαγάδας χειρῶν καὶ ποδῶν καὶ ἀρθριτικὰς καὶ ποδαγρικὰς ὀδύνας ὀνίνησιν. (Cp. la rédaction du ms. de Paris 2510 = S, p. 106 de l'édition, l. 8, note.)

Article conservé en partie dans le ms. S (*ibid.*) :

ΓΟΜΦΟΣ ἰ. ἐ. θαλάττιος π. γν. Οὗτος νεαρὸς ὢν ζωμιστὸς ἐσθιόμενος καὶ πινόμενος κοιλίαν μαλάσσει, καθ' αὑτόν τε καὶ μετ' οἴνου πινόμενος.

P. 107, l. 15. § 5] ΔΡΑΚΟΝΤΙΣ ἰχθύδιόν ἐστιν ἄκανθαν ἔχον δι' ἧς πλήττει ἀφόρητον ὀδύνην ἐμποιοῦν (ἐμπίουν ms.). Τούτου ἡ κεφαλὴ θλασθεῖσα καὶ ἐπιτεθεῖσα τῇ πληγῇ θεραπεύει αὐτήν.

§§ inédits : Ὅλος δὲ ὁ ἰχθὺς καεὶς καὶ τεφρωθεὶς καὶ ποθεὶς τοὺς ἐν τοῖς νεφροῖς λίθους θρύπτει καὶ στραγγουρίαν ἰᾶται.

Αἱ δὲ κεφαλαὶ μόναι τῶν τοιούτων ἰχθύων καυθεῖσαι καὶ τεφρωθεῖσαι καὶ λεῖαι ποθεῖσαι ῥίγη λύουσι.

Σὺν δὲ χυλῷ δρακοντέας (*sic*) βοτάνης ἡ τέφρα ἐγχριομένη λειχῆνας καὶ λέπρας ἰᾶται.

P. 108, l. 3. Article en partie inédit : ΕΓΧΕΛΥΣ ἰχθὺς μακρότατος ὄφει ἐοικώς (-κός ms.). Γίνεται δ' ὡς ἐπὶ τὸ πλεῖστον ἐν λίμναις θαλασσομίκτοις. Τούτου ἡ χολὴ σὺν οἴνῳ λάθρα ποθεῖσα τοὺς ἀκορέστως ἔχοντας ἀοίνους ποιεῖ. Αὐτὴν δὲ τὴν ἔγχελυν ὅλην ζῶσαν εἰς οἶνον ἐμβληθεῖσαν καὶ ἐν τούτῳ ἀποπνιγεῖσαν τὸ αὐτὸ ποιεῖ, εἴ τις οἰνόφλυξ ἐκ τοῦ οἴνου πίει (lire πίνει). Ἔγχελυς δὲ ἀνασχισθεῖσα καὶ ἀσπιδοδήκτοις ἐπιτεθεῖσα θεραπεύει αὐτούς. (Cp. les §§ 1 et 2, ainsi que la rédaction du ms. S, p. 108 de l'édition, l. 2-6 et les notes.)

Articles inédits :

ΖΥΓΑΙΝΑ ἰχθύς ἐστι θαλάττιος παμμεγέθης πλατεῖαν ἔχων κεφαλήν · τὸ δὲ λοιπὸν σῶμα ὅμοιον κυνογαλέῳ.

Ταύτης ἡ χολὴ σὺν ὀποβαλσάμῳ ἐγχριομένη ὀξυωπίαν παρέχει.

ΗΔΟΝΙΑ θαλάττιος ἰχθύς ἐστιν, ὃν καὶ ἀβίδιν φασί. Τοῦτο ἐσθιόμενον καὶ ζωμιστὸν πινόμενον ἔντασιν ποιεῖ καὶ νεφρικοὺς ἰᾶται.

P. 110, § inédit : ΘΡΙΣΣΑ ἰχθύς ἐστι θαλάττιος μικρός.

§ 7] Αὕτη ὀπτὴ ἐσθιομένη κωλικοὺς καὶ στομαχικοὺς καὶ νεφρικοὺς ὀνίνησι.

§ 6] Καυθεῖσα δὲ ἡ τέφρα μετ' ἰρ. μ. καταχριομένη τρίχας ῥεούσας ἵστησιν.

§ inédit : ΘΥΝΝΑ (*sic*) ἰχθύς ἐστι θαλάσσιος πᾶσι γνωστός. Τούτου ἡ χολὴ σὺν ὀπῷ ἀειθαλοῦς βοτάνης ἐγχεομένη λευκώματα ὀφθαλμῶν αἴρει.

